http://www.numelyo.bm-lyon.fr

Histoire romaine de Dion Cassius

Auteur :Dion Cassius, 0155?-0235?

Date :1845-1870

Cote : SJ X 229/8 T. 08

Permalien : http://numelyo.bm-lyon.fr/BML:BML_00GOO0100137001100092944

Droit d'utilisation : Domaine public, Licence Ouverte-Open Licence



HISTOIRE ROMAINE

DE

DION CASSIUS,

TRADUITE EN FRANÇAIS,

AVEC DES NOTES CRITIQUES, HISTORIQUES, ETC.

ET LE TEXTE EN REGARD,

collationné

SUR LES MEILLEURES ÉDITIONS ET SUR LES MANUSCRITS DE ROME, FLORENCE, VENISE, TURIN, MUNICH, HEIDELBERG, PARIS, TOURS, BESANÇON;

PAR E. GROS,

INSPECTEUR DE L'ACADÉMIE DE PARIS,

OUVRAGE CONTINUÉ

PAR V. BOISSÉE.

TOME HUITIÈME.

PARIS,

LIBRAIRIE DE FIRMIN DIDOT FRÈRES, FILS ET C^ie^,

IMPRIMEURS DE L'INSTITUT,

RUE JACOB, 56.

1866.

LEG MONSPEL

EX LIBRIS DOMUS Bibliotheca - artium - SANCTI STANISLAI

HISTOIRE ROMAINE

DE

DION CASSIUS.

Paris. — Typographie de Firmin Didot frères, rue Jacob, 56.

HISTOIRE ROMAINE

DE

DION CASSIUS,

TRADUITE EN FRANÇAIS,

AVEC DES NOTES CRITIQUES, HISTORIQUES, ETC.

ET LE TEXTE EN REGARD,

collationné

SUR LES MEILLEURES ÉDITIONS ET SUR LES MANUSCRITS DE ROME,
FLORENCE, VENISE, TURIN,
MUNICH, HEIDELBERG, PARIS, TOURS, BESANÇON;

PAR E. GROS,

INSPECTEUR DE L'ACADÉMIE DE PARIS,

OUVRAGE CONTINUÉ

PAR V. BOISSÉE.

TOME HUITIÈME.

PARIS,

LIBRAIRIE DE FIRMIN DIDOT FRÈRES, FILS ET C^ie^,
IMPRIMEURS DE L'INSTITUT,
RUE JACOB, 56.

1866.

BIBLIOTHÈQUE S. J.

AVERTISSEMENT.

On s'accorde assez généralement à regarder comme étant de Dion toute la rédaction actuelle des livres XXXVI-LX inclusivement, tels qu'ils nous sont donnés par les manuscrits. Cependant un examen attentif, comme l'avaient déjà remarqué Xylander dans ses notes et Reimarus dans sa préface, montre aisément qu'en beaucoup d'endroits, et j'en ai signalé quelques-uns, nous n'avons plus qu'un abrégé. Le manuscrit de la bibliothèque de Saint-Marc de Venise, comparé avec les extraits qui se trouvent dans le manuscrit de Peiresc, ne permet de conserver aucun doute à cet égard. Aussi, Bekker et Dindorf regardent-ils le livre LX, à partir du chapitre 29, comme n'étant plus guère que le texte de l'abréviateur Xiphilin. Il y a toutefois cette différence entre eux que Bekker semble admettre quelques réserves, tandis que Dindorf tranche la question d'une manière absolue.

Assurément, M. Dindorf est un philologue éminent, un savant du premier ordre, auquel je suis bien loin de me comparer; j'ai été heureux de

profiter de ses lumières, comme on le verra dans les notes, et de mettre à contribution son travail. Cependant il a des hardiesses telles que j'ai cru devoir me séparer de lui sur plusieurs points. Je demanderai à mes lecteurs la permission d'en mettre ici quelques-uns sous leurs yeux. Au livre LVI, lorsque Dion parle du testament d'Auguste, il manque un feuillet dans le manuscrit de Venise [K] après les mots Καίτοι τὰς... du chapitre 32, et la lacune ne se termine qu'à χοντων, finale de ἀρχόντων, au chapitre 34 : Dindorf, contre l'autorité de tous les autres manuscrits, rejette en petit texte au bas de la page, comme étant de Xiphilin et de Zonaras, tout le passage intermédiaire. Or, on sait que souvent ces deux abréviateurs ont copié Dion à la lettre, qu'on lit, dans leur rédaction, des pages entières qui se retrouvent textuellement dans les manuscrits de Dion, même dans celui de Venise. Cette considération m'a déterminé à laisser dans le texte, comme Bekker l'a fait, le passage exclu par Dindorf; la suite des idées est sensible, et le style, en cet endroit, est parfaitement conforme à celui de Dion. D'ailleurs, le plus grand mérite de cet auteur, pour nous, est dans les détails qu'il nous a transmis sur l'histoire impériale de Rome, détails dont un assez bon nombre ne se trouve que chez lui; il ne fallait donc pas rendre suspect au lecteur ce passage du texte que nous tenons pour authentique. Un autre point où je me suis séparé de Dindorf, c'est lorsqu'au chapitre 14 de ce même livre LVI, il

donne « ipsam codicis Veneti scripturam *quantumvis* corruptam [1] : καὶ τοὺς πολεμίους ἠωῆι ἀνίτητον ἐς τὸ χωρίον ἐς τὸ χωρίον ἐκ πλείονος περιελθοῦσιν, ἣν περιπέμψει, ἐτάραξεν ». Le lecteur trouvera sans doute que, quelle que soit l'autorité de ce manuscrit, et elle est grande incontestablement, elle ne doit pas prévaloir, surtout dans un endroit tellement altéré qu'on ne peut en tirer aucun sens, sur celle des autres manuscrits qui tous donnent une leçon fort claire : καὶ τοὺς πολεμίους ἑτέρωθεν ἄλλοις στρατιώταις, ἐς τὸ ἄναντες τοῦ χωρίου ἐκ πλείονος περιελθοῦσιν, ἐτάραξε. Si un jour quelque critique est assez heureux pour tirer de la leçon corrompue du manuscrit de Venise une restitution satisfaisante, il sera temps alors de substituer ce nouveau texte à la vulgate.

Mais j'ai aussi un autre genre de reproche à faire à M. Dindorf, le reproche d'inadvertance. M. Dindorf emprunte à ses devanciers, sans en rien dire, leurs plus heureuses conjectures ou restitutions. Il aurait donc dû être plus réservé à l'égard des *correctores*, contre qui il s'élève à chaque ligne de ses Préfaces. Pour ne citer qu'un exemple de ces inadvertances, M. Dindorf [2] s'attribue le mérite d'avoir donné d'après le manuscrit de Venise : Κἀν τούτῳ παντελῶς οἱ Ῥωμαῖοι μάτην ἐκινδύνευσαν,... au lieu de Κἂν παντελῶς οἱ Ῥωμαῖοι... S'il eût consulté plus attentivement ses devanciers, il aurait vu que Sturz et Bekker avaient déjà reçu cette leçon dans leur texte.

(1) Préface du tome Ier, p. XVII.
(2) *Ibid.*

Il me reste encore un point sur lequel je dois quelques explications au lecteur. J'ai parlé, plus haut, des Extraits Peiresc; Reimarus a soudé ces Extraits au texte de Dion, par des transitions habilement ménagées et que Sturz a conservées. Tout en rendant justice au mérite et à la sagacité dont Reimarus a fait preuve en cette occurrence, je n'ai pas dû l'imiter. C'est là un système dangereux et sur lequel je n'ai pas besoin de m'étendre; il y a même un de ces Extraits que Dindorf, avec raison, range parmi les *Fragmenta sedis incertæ*, et qu'avec Bekker j'ai rejeté en note, tant la place que lui assigne Reimarus m'a paru peu certaine : toutes les fois que le passage ne fait point partie d'un extrait où se trouve comprise une phrase précédente ou une phrase suivante qui en détermine l'insertion, je le mets entre deux crochets et je rétablis le Ὅτι indicatif d'un extrait, à l'exemple de Bekker et de Dindorf. Cette marche est beaucoup plus sûre; j'indique néanmoins avec soin dans la note les sutures pratiquées par Reimarus.

Quant aux *Excerpta Vaticana*, j'ai suivi une méthode analogue. Lorsque le fait rapporté se lit dans le texte ordinaire de Dion, j'en tiens compte comme d'une variante du texte communément admis; dans l'autre cas, je le cite en note, en le traduisant, à l'endroit où il me semble le mieux se rapporter.

Paris, le 20 octobre 1866. V. B.

ΤΩΝ

ΔΙΩΝΟΣ

ΙΣΤΟΡΙΩΝ ΡΩΜΑΙΚΩΝ

ΤΑ ΒΙΒΛΙΑ

ΝϚ′, ΝΖ′, ΝΗ′, ΝΘ′, Ξ′.

ΤΩΝ

ΔΙΩΝΟΣ

ΙΣΤΟΡΙΩΝ ΡΩΜΑΙΚΩΝ

ΤΟ ΠΕΝΤΗΚΟΣΤΟΝ ΕΚΤΟΝ ΒΙΒΛΙΟΝ.

Τάδε ἐνεστιν ἐν τῷ πεντηκοστῷ ἕκτῳ τῶν Δίωνος Ῥωμαϊκῶν.

Ὡς τοῖς τὰ τέκνα ἔχουσι, καὶ μετὰ τοῦτο τοῖς ἀτέκνοις καὶ ἀγάμοις ὁ Αὔγουστος διελέχθη· καὶ ὅσα ἐπ' αὐτοῖς ὥρισεν.

Ὡς Κυϊντίλιος Οὔαρος ἡττηθεὶς ὑπὸ Κελτῶν ἀπέθανεν.

Ὡς τὸ Ὁμονόειον καθιερώθη.

Ὡς ἡ Λιουΐας στοὰ καθιερώθη.

Ὡς Αὔγουστος μετηλλαξεν.

Χρόνου πλῆθος, ἔτη ξξ, ἐν οἷς οἱ ἄρχοντες, οἱ ἀριθμούμενοι, οἵδε ἐγένοντο·

Κοΐντος Σουλπίκιος, Κοΐντου υἱὸς, Καμερῖνος, καὶ[1] Γάϊος Ποππαῖος[2], Κοΐντου υἱὸς, Σαβῖνος.

1. Ddf, dans les listes de consuls, omet constamment ce καί et les suivants; j'en fais ici l'observation une fois pour toutes.

HISTOIRE ROMAINE

DE DION.

LIVRE CINQUANTE-SIXIÈME.

Matières contenues dans le cinquante-sixième livre de l'Histoire romaine de Dion.

Comment Auguste parla aux citoyens qui avaient des enfants, et, ensuite, à ceux qui n'en avaient pas et qui n'étaient pas mariés. Règlements qu'il établit à ce sujet, § 1-10.

Comment périt Quintilius Varus, vaincu par les Germains, § 18-24.

Comment fut dédié le temple de la Concorde, § 25.

Comment fut dédié le portique de Livie, § 27.

Comment Auguste termina sa vie, § 29-47.

Espace de temps : six ans; pendant lesquels les consuls furent :

Quintus Sulpicius Camérinus, fils de Quintus, et Caius Poppéus Sabinus, fils de Quintus;

2. Correction de Robert Étienne, suivie par les éd. subséq., au lieu de Πομπαιος donné par E et I.

Πούπλιος Κορνήλιος, Πουπλίου υἱὸς, Δολαβέλλας, καὶ Γάϊος Ἰούνιος Σιλουανός [1].

Μάρκος [2] Αἰμίλιος, Κυΐντου υἱὸς, Λέπιδος, καὶ Τίτος Στατίλιος, Τίτου υἱὸς, Ταῦρος.

Γερμανικὸς, Καίσαρος υἱὸς, Καῖσαρ, καὶ Γάϊος Φοντηΐος [3], Γαΐου υἱὸς, Καπίτων.

Λούκιος Μουνάτιος, Λουκίου υἱὸς, Πλάγκος, καὶ Γάϊος Σίλιος, Γαΐου υἱὸς, Καικίνας [4].

Σέξτος Πομπηΐος, Σέξτου υἱὸς, καὶ Σέξτος Ἀπουληΐος [5], Σέξτου υἱὸς.

1. Ὁ δὲ δὴ Τιβέριος ἐς τὴν Ῥώμην, μετὰ τὸν χειμῶνα, ἐν ᾧ Κύϊντος Σουλπίκιος καὶ Γάϊος Σαβῖνος ὑπάτευσαν, ἀνεκομίσθη· καὶ αὐτῷ καὶ ὁ Αὔγουστος ἐς τὸ προάστειον ἀπαντήσας [6], ἦλθέ τε μετ' αὐτοῦ ἐς τὰ Σέπτα [7], κἀνταῦθα ἀπὸ βήματος τὸν δῆμον ἠσπάσατο [8]· καὶ μετὰ τοῦτο τά τε ἄλλα τὰ προσήκοντα ἐπὶ τοῖς τοιούτοις ἐποίησε, καὶ θέας ἐπινικίους διὰ τῶν ὑπάτων [9]. Ἐπειδή τε οἱ ἱππεῖς [10]
p. 809. πολλῇ ἐν αὐταῖς σπουδῇ τὸν νόμον, τὸν περὶ τῶν μήτε γα-

1. Cf. ch. 12; vulg. et Ddf : Σιλανός. — 2. Ryckius, notes sur Tacite (Ann., III, 22), croit qu'il faudrait lire ici Μάνιος, au lieu de Μάρκος; les Fastes sont d'accord avec Ryckius, mais, au ch. 25, Dion le nomme Μάρκος; j'ai donc cru ne devoir faire aucun changement.

3. Xld. et les éd. subséq., leçon confirmée par les mss., excepté C, E et K où ce nom est écrit Φόντιος. — 4. E, G, I : Καικιναλάριος; C : Καὶ Κιναλάριος (*sic*). Ddf donne Καικινλάριος, mais entre crochets. — 5. Correction marginale de Lncl., suivie par les éd. subséq., confirmée par Xph. (cf. ch. 29) et par les mss., à l'exception de E et de I où on lit : Ἀπούλιος.

6. Casaubon, dans ses notes sur Suétone (Tib., 17) : ἀπήντησε, afin d'attribuer, dit Rm., ce qui suit à Tibère et non à Auguste. — 7. Accen-

Publius Cornélius Dolabella, fils de Publius, et Caius Junius Silvanus;

Marcus Æmilius Lépidus, fils de Quintus, et Titus Statilius Taurus, fils de Titus;

Germanicus César, fils de César, et Caius Fontéius Capiton, fils de Caius;

Lucius Munatius Plancus, fils de Lucius, et Caius Silius Cécina, fils de Caius;

Sextus Pompée, fils de Sextus, et Sextus Apuléius, fils de Sextus.

1. Tibère revint à Rome après l'hiver où Q. Sulpicius et C. Sabinus furent consuls. Auguste, après être allé à sa rencontre jusque dans les faubourgs de la ville, l'accompagna dans les Septa, où, du haut de son tribunal, il salua le peuple; après quoi, il accomplit les cérémonies usitées en pareilles circonstances, et fit célébrer des jeux par les consuls à l'occasion de ses victoires. Comme, pendant ces jeux, les chevaliers demandaient avec instance l'abrogation de la loi relative aux

An de Rome 762. Q. Sulpicius et C. Sabinus consuls.

tuation proposée par Henri Étienne (LIX, 10), à cause du latin *Septa*, et suivie par Bkk. et Ddf; je regrette de ne pas l'avoir précédemment adoptée, LIII, 23. — 8. Suétone (Tib., 17) : « . . . Urbem prætextatus et laurea coronatus intravit, positumque in Septis tribunal, senatu adstante, conscendit, ac medius inter duos consules cum Augusto simul sedit, unde, populo consalutato, circum templa deductus est. » C : ἐσπάσατο.

9. C'est-à-dire des chasses, les jeux du cirque, des combats de gladiateurs, des représentations théâtrales, etc., soins dont, parfois, on se reposait sur les consuls (cf. Juste-Lipse, Saturnales, I, 9); quant au triomphe, cf. ch. 17.

10. G : ἱππῆς; K : ἱππῆις (constamment)

μούντων μήτε [1] τεκνούντων, καταλυθῆναι ἠξίουν [2], ἤθροισεν [3] ἐς τὴν ἀγορὰν χωρὶς μὲν [4] τοὺς ἀγυναίους [5] σφῶν χωρὶς δὲ τοὺς γεγαμηκότας, ἢ καὶ τέκνα ἔχοντας· καὶ ἰδὼν πολὺ τούτους ἐκείνων ἐλάττους, ἤλγησέ τε, καὶ διελέξατο αὐτοῖς τοιάδε·

2. « Εἰ καὶ ὀλίγοι παντάπασιν, ὥς γε πρὸς τοσοῦτον ὄγκον πόλεως εἰπεῖν, καὶ πολλῷ καταδεέστεροι τῶν ἑτέρων τῶν μηδὲν τῶν [6] δεόντων πράττειν ἐθελόντων ἐστέ, ἀλλ' ἔγωγε καὶ κατ' αὐτὸ τοῦτο μᾶλλον ὑμᾶς ἐπαινῶ, καὶ πολλὴν χάριν ὑμῖν ἔχω [7], ὅτι καὶ [8] ἐπείσθητε, καὶ τὴν πατρίδα συμπληθύνετε [9]. Ἐκ γὰρ τῶν οὕτω βιούντων παμπληθεῖς οἱ μετὰ ταῦτα Ῥωμαῖοι γενήσονται· καὶ γὰρ τὸ κατ' ἀρχὰς, καὶ πάνυ βραχεῖς ὄντες, ἔπειτα γάμων ἐπιμεληθέντες, καὶ τέκνα ποιησάμενοι, πάντας ἀνθρώπους, οὐκ εὐανδρίᾳ μόνον, ἀλλὰ καὶ πολυανθρωπίᾳ, ὑπερέφυμεν [10]. Ὧν χρὴ μεμνημένους, τὸ θνητὸν τῆς φύσεως ἡμῶν ἀϊδίῳ διαδοχῇ γενῶν, ὥσπερ τινῶν λαμπαδίων, παραμυθεῖσθαι [11]· ἵν' ἐν ᾧ μόνῳ τῆς θείας εὐδαιμονίας ἡττώμεθα, τοῦτ' ἐξ ἀλλήλων ἀθάνατον καθιστώμεθα [12]. Διὰ γὰρ τοῦτο καὶ τὰ μάλιστα ὁ πρῶτος καὶ μέγιστος ἐκεῖνος θεὸς, ὁ τεκτηνα-

1. Ddf; vulg. : μὴ γαμούντων μήτε [Bkk. : μηδέ]. — 2. La loi *Julia* ou *De maritandis ordinibus*. Cf. LIV, 16, et LV, 2. — 3. G : οἰθροισεν.

4. G om. — 5. St. : « Ἀγυναίους noli in ἀγύνους [quod dat Ddf] mutandum existimare. Quanquam enim hoc sæpius Dio utitur, quod Index docet, tamen nec illud auctoritate caret. Vide Lobeck. ad Phrynichi Eclog., p. 185. » — 6. G : τῶν δὲ τῶν, au lieu de τῶν μηδὲν τῶν.

7. C : ἔχω ὑμῖν. — 8. C : ὅτι καί. — 9. Bkk. et Ddf, leçon que Sturz regarde comme préférable, attendu, dit-il, que « hæc forma legitur ple-

citoyens qui n'avaient ni femme ni enfants, il assembla séparément, dans le Forum, d'un côté ceux d'entre eux qui n'étaient pas mariés, de l'autre ceux qui l'étaient et qui avaient des enfants : voyant alors que le nombre des derniers était bien inférieur à celui des premiers, il en fut affligé, et leur parla en ces termes :

2. « Votre nombre si petit, quand on songe à la majesté de cette ville, si inférieur par rapport à ceux qui ne veulent s'acquitter d'aucun de leurs devoirs, m'est une raison de vous louer davantage et de vous témoigner une profonde reconnaissance pour avoir obéi à mes prescriptions, et peuplé la patrie de citoyens. Une telle conduite assurera aux Romains une longue suite de descendants : peu nombreux, à l'origine, nous avons fini, pour avoir cultivé le mariage et procréé des enfants, par surpasser tous les peuples non-seulement en courage, mais encore en population. Ces souvenirs doivent nous engager à compenser la condition d'une nature mortelle par une succession non interrompue de générations, comme ces flambeaux qu'on se passe de main en main, afin que le seul avantage par où notre sort est inférieur à celui des dieux, l'immortalité, nous nous l'assurions, en nous remplaçant les uns après les autres. C'est pour ce motif surtout que ce dieu, le premier et le

rumque in significatione transitiva. » Vulg. : συμπληθύετε.

10. Sous le roi Servius Tullius, le cens avait accusé de 190,000 à 194,000 citoyens ; avant les guerres civiles, l'an de Rome 667, il en avait accusé de 464,000 à 473,000. Cf. les Observations d'Isaac Vossius, p. 26 et suiv. — 11. Image empruntée à Platon (Lois, VI, p. 776 B, éd. d'Étienne) : Γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων. — 12. G om. : τοῦτ' ἐξ ἀλλήλων ἀθάνατον καθιστώμεθα.

μένος ἡμᾶς, διχῇ τε διεῖλε τὸ θνητὸν γένος, καὶ τὸ μὲν ἄῤῥεν αὐτοῦ, τὸ δὲ θῆλυ ἀποδείξας, ἔρωτα καὶ ἀνάγκην σφίσι τῆς πρὸς ἀλλήλους συνουσίας ἐνέβαλε, καὶ γόνιμον τὴν ὁμιλίαν αὐτῶν ἐποίησεν, ὅπως ἐκ τῶν ἀεὶ γεννωμένων ἀΐδιον τρόπον τινὰ καὶ τὸ θνητὸν ἀπεργάσηται. Καίτοι καὶ αὐτῶν τῶν θεῶν οἱ μὲν ἄῤῥενες, αἱ δὲ θήλειαι νομίζονται, καὶ οἱ μὲν γεγεννηκέναι τινὰς, οἱ δὲ ἐκ τινῶν γεγεννῆσθαι παραδέδονται· οὕτω καὶ[1] παρ' ἐκείνοις τοῖς μηδὲν τούτων δεομένοις καλὸν εἶναι δέδοκται καὶ γάμος καὶ τέκνωσις.

3. « Ὥστε[2] ὀρθῶς μὲν ἐποιήσατε, τοὺς θεοὺς μιμησάμενοι, ὀρθῶς δὲ, καὶ τοὺς πατέρας ζηλώσαντες· ἵν' ὥσπερ ὑμᾶς ἐκεῖνοι ἐγέννησαν, οὕτω καὶ ὑμεῖς ἄλλους τεκνώσητε· καὶ καθάπερ ἐκείνους ὑμεῖς προγόνους καὶ ἡγεῖσθε καὶ ὀνομάζετε, οὕτω καὶ ὑμᾶς ἕτεροι καὶ νομίσωσι[3] καὶ προσειπῶσιν· τά τε ἔργα ὅσα ἐκεῖνοι καλῶς πράξαντες ὑμῖν μετ' εὐκλείας παρέδοσαν, καὶ ὑμεῖς ἄλλοις παραδῶτε· καὶ τὰ κτήματα ὅσα αὐτοὶ κτησάμενοι κατέλιπον ὑμῖν, καὶ ὑμεῖς ἑτέροις
R. p. 810. ἐξ ὑμῶν αὐτῶν γεγονόσι καταλίπητε[4]. Πῶς μὲν γὰρ οὐκ ἄριστον γυνὴ σώφρων, οἰκουρὸς, οἰκονόμος, παιδοτρόφος, ὑγιαίνοντά τε εὐφρᾶναι, καὶ ἀσθενοῦντα θεραπεῦσαι· εὐτυχοῦντί τε συγγενέσθαι, καὶ δυστυχοῦντα παραμυθήσασθαι· τοῦ τε νέου τὴν ἐμμανῆ φύσιν καθεῖρξαι, καὶ τοῦ πρεσβυτέρου τὴν ἔξωρον αὐστηρότητα κεράσαι; Πῶς δ'[5]

1. K, Bkk. et Ddf; vulg. om. — 2. K : Ὡς γε; le τε est d'une autre

plus grand de tous, qui nous a créés, a partagé la race mortelle en deux sexes, l'homme et la femme, qu'il a mis en eux l'amour et la nécessité d'un commerce intime, et rendu leur union féconde, afin que des naissances continuelles communiquassent à un élément périssable une durée en quelque sorte éternelle. Parmi les dieux eux-mêmes, la distinction des sexes existe : la tradition nous apprend que les uns ont donné et que les autres ont reçu la vie ; tellement ceux-mêmes qui n'en ont nul besoin regardent comme honorable d'avoir une épouse et des enfants.

3. « Vous avez donc raison d'imiter les dieux, vous avez raison de suivre l'exemple de vos pères, afin que, de même que vos pères vous ont engendrés, vous donniez, à votre tour, naissance à des enfants ; et, de même que ceux qui vous ont précédés, vous les regardez et vous les appelez ancêtres, ainsi d'autres, après vous, vous considèrent comme les leurs et vous saluent de ce titre; que tous les exploits dont vos pères vous ont transmis la gloire soient par vous transmis à d'autres ; que les biens dont ils vous ont laissé la possession soient par vous laissés à des enfants nés de vous. N'est-ce pas, en effet, le meilleur des biens, qu'une épouse sage, se tenant dans sa maison qu'elle dirige, et élevant ses enfants ? faisant notre joie, quand nous sommes en santé ; nous prodiguant ses soins, lorsque nous sommes malades ? prenant sa part de notre bonheur et nous consolant de l'adversité ? retenant la violence du jeune homme et tempérant l'austérité du vieillard épuisé ? N'est-ce pas une

main. — 3. G : προσεῖσι. — 4. C : οἰκουροί. — 5. Com.

οὐχ ἡδὺ, ἀνελέσθαι τέκνον ἐξ ἀμφοῖν συμπεφυκὸς, καὶ θρέψαι καὶ παιδεῦσαι, εἰκόνα μὲν τοῦ σώματος, εἰκόνα δὲ καὶ τῆς ψυχῆς, ὥστε ἐν ἐκείνῳ αὐξηθέντι ἕτερον αὐτὸν γενέσθαι; Πῶς δ' οὐ μακαριστὸν, ἀπαλλαττόμενον ἐκ τοῦ βίου, διάδοχον καὶ κληρονόμον οἰκεῖον [ἐξ ἑαυτοῦ γεγονότα[1]] καὶ τοῦ γένους καὶ τῆς οὐσίας καταλιπεῖν[2]· καὶ τῇ μὲν φύσει τῇ ἀνθρωπίνῃ διαλυθῆναι, τῇ δὲ ἐκείνου διαδοχῇ ζῆσαι· καὶ μήτε ἐπ' ἀλλοτρίοις[3], ὥσπερ ἐν πολέμῳ, γενέσθαι, μήτε ἄρδην ἀπολέσθαι[4]; Καὶ ταῦτα μὲν τὰ κέρδη ἴδιά που τοῖς γαμοῦσι καὶ τεκνοποιοῦσιν ὑπάρχει[5]· τῷ δὲ δὴ κοινῷ, οὗπερ ἕνεκα καὶ παρὰ γνώμην πολλὰ ποιεῖν ὀφείλομεν, πῶς μὲν οὐ καλὸν, πῶς δ' οὐκ ἀναγκαῖον, εἴπερ αἵ τε πόλεις καὶ οἱ δῆμοι ἔσονται, καὶ ὑμεῖς τε ἑτέρων ἄρξετε, καὶ οἱ ἄλλοι ὑμῖν ὑπακούσουσι, πολυπληθίᾳ[6] ἔν τε εἰρήνῃ γῆν ἐργάσασθαι, καὶ ναυτιλίας ναυτίλασθαι[7], τέχνας τε ἀσκῆσαι, καὶ δημιουργίας ἐπιτηδεῦσαι, καὶ ἐν πολέμῳ τά τε ὄντα προθυμότερον διὰ τὰ γένη σῶσαι, καὶ ἀντὶ τῶν ἀπολλυ-

1. Les mots ἐξ ἑαυτοῦ γεγονότα me semblent une glose de οἰκεῖον, qui se sera introduite dans le texte; je les mets entre crochets.

2. G, K, Bekk. et Ddf, vulg. : κληρονόμον τοῦ βίου καὶ τοῦ γένους οἰκεῖον ἐξ ἑαυτοῦ γεγονότα καταλιπεῖν. Sturz, à propos de la leçon adoptée : « Vix dubito, quin οὐσία sit glossema τοῦ βίου. » Il n'a peut-être pas tort. Au reste, les trois expressions pourraient être employées à la fois. Un enfant perpétue la race, la famille, γένος; il continue la vie de son père, βίος, et il hérite de ses biens, οὐσία.

3. G : μήτ' ἐπ' ἀλλοτρίοις. — 4. Ddf; vulg. : ὥστε ἐν πολέμῳ ἀπολέσθαι; G : ὥστε ἐν πολέμῳ γε ἀπολέσθαι, leçon que Sturz n'est pas éloigné de croire la véritable; Rsk. : ὥστε ἐν πολεμίᾳ ou δουλείᾳ (St. trouve cette

douce chose de soulever dans ses bras, de nourrir et d'instruire un enfant qui, né de l'un et de l'autre, reproduit l'image de notre corps, l'image de notre âme, de sorte qu'on voit croître en lui un autre soi-même? N'est-ce pas un bonheur, quand on quitte la vie, de laisser dans sa maison un successeur et un héritier de sa fortune et de sa race [né de son sang]? de trouver, quand la nature humaine se dissout, une nouvelle existence dans cette succession? de ne jamais, comme à la guerre, tomber au pouvoir d'un étranger, de ne point périr tout entier? Voilà les avantages des particuliers qui se marient et qui procréent des enfants. Quant à l'État, pour lequel nous sommes obligés de faire bien des choses, même contre notre gré, n'est-il pas honorable pour lui, n'est-il pas nécessaire, si les villes et les peuples doivent subsister, si vous devez commander aux autres nations et si elles doivent vous obéir, qu'il y ait beaucoup de monde, dans la paix, pour travailler la terre, pour se livrer au commerce maritime, pour cultiver les arts, pour s'occuper des métiers; dans la guerre, pour défendre avec plus d'ardeur ses possessions, au nom de sa famille,

dernière conjecture non à dédaigner); Rm. (*Addenda*) déclare ὥσπερ ἐν πολέμῳ préférable. Bkk., sans donner aucune raison : ὥσπερ ἐν σεισμῷ. Mais ὡς ἐν πολέμῳ est une répétition évidente, née d'une confusion de lignes. Cette confusion, une fois faite, se sera perpétuée d'autant plus aisément, qu'elle donne à la phrase une certaine symétrie qui est assez dans la manière habituelle de Dion.

5. C : τεκνοποιοῦσι ὑπάρχει. — 6. Bkk. et Ddf ; vulg. : πολυπληθίᾳ, au datif. — 7. Rsk. voudrait insérer τὴν θάλασσαν devant ναυτίλασθαι, « ut, dit St,, a communi tacite e præsentibus repetatur ἐργάσασθαι, aut saltem ναυτιλίᾳ in ναυτιλίας mutari. » Avec Bkk. et Ddf, j'adopte cette dernière leçon. C : ναυτίλλασθαι.

μένων ἑτέρους ἀντικαταστῆσαι[1]; Ὑμᾶς μὲν οὖν, ὦ ἄνδρες (μόνοι γὰρ ἄνδρες δικαίως ὀνομάζεσθε[2]), καὶ ὦ πατέρες (καὶ γὰρ ταύτην ἄξιοι τὴν ἐπωνυμίαν ὁμοίως ἐμοὶ ἔχειν ἐστέ), καὶ φιλῶ διὰ ταῦτα καὶ ἐπαινῶ, καὶ τούτοις τε[3] οἷς τέθεικα[4] ἄθλοις[5] ἀγάλλω[6], καὶ προσέτι καὶ ἄλλαις καὶ τιμαῖς καὶ ἀρχαῖς ἐπιγαυρώσω· ὥστ' αὐτούς τε μεγάλα καρπώσασθαι, καὶ τοῖς παισὶ μὴ ἐλάττω καταλιπεῖν. Μεταβήσομαι[7] δὲ δὴ καὶ ἐπὶ τοὺς ἄλλους, τοὺς οὔτε τι τῶν ὁμοίων ὑμῖν πεποιηκότας, καὶ πάντων διὰ τοῦτο τῶν[8] ἐναντίων τευξομένους· ἵνα μὴ μόνον ἐκ τῶν λόγων, ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἔτι καὶ μᾶλλον καταμάθητε, ὅσον αὐτῶν διαφέρετε. »

4. Ταῦτα εἰπὼν[9], καὶ τὰ μὲν παραχρῆμα δούς τισιν αὐτῶν[10], τὰ δ' ὑποσχόμενος, μετῆλθέ[11] τε πρὸς τοὺς ἑτέρους, καὶ ἔλεξε καὶ ἐκείνοις τάδε·

« Θαυμαστόν μέν τι πέπονθα, ὦ... τί ἂν ὀνομάσαιμι ὑμᾶς; Ἄνδρας; ἀλλ' οὐδὲν ἀνδρῶν ἔργον παρέχεσθε. Πολίτας; Ἀλλ' ὅσον ἐφ' ὑμῖν, ἡ πόλις ἀπόλλυται. Ῥωμαίους; ἀλλ' ἐπιχειρεῖτε τὸ ὄνομα τοῦτο καταλῦσαι. Οὐ μὴν ἀλλ' ἔγωγε, οἵτινες ποτέ ἐστε, καὶ ὅ τι δή ποτε χαίρετε ὀνομαζόμενοι, παράδοξον μέν τι[12] πάθος πέπονθα. Ὑπὲρ γὰρ τῆς πολυανθρωπίας ἡμῶν[13] ἀεί τε πάντα ποιῶν, καὶ νῦν ἐπιτιμήσειν ὑμῖν μέλλων, ἀηδῶς ὑμᾶς ὁρῶ πολλοὺς

1. K, approuvé par St., Bkk. et Ddf; vulg. : καταστῆσαι. — 2. G, I : ὀνομάζοισθε. — 3. G, K, St., Bekk. et Ddf; vulg. om. — 4. G : ἴθηκε.
5. Cf. LIV, 16. C : ἅλις. — 6. G : ἀγάλω. — 7. I, K, St., Bkk. et

et remplacer par d'autres les soldats qui ont péri? Aussi, hommes (seuls, en effet, vous êtes justement appelés hommes), pères (vous méritez ce nom, à l'égal de moi), j'ai pour vous de l'amour et des éloges; je suis fier de vous accorder les prix établis par moi, et, de plus, je me ferai une gloire de vous élever aux autres charges et dignités, afin que vous-mêmes vous puissiez amplement recueillir les fruits de votre conduite, et n'en pas laisser de moindres à vos enfants. Je vais maintenant m'adresser aux citoyens qui n'ont en rien agi comme vous, et qui, pour cette raison, obtiendront des résultats tout opposés : je veux que mes actes, bien plus encore que mes paroles, vous apprennent combien vous leur êtes supérieurs. »

4. Après avoir, à la suite de ce discours, immédiatement soit distribué, soit promis des récompenses, il se dirigea vers le second groupe, auquel il tint ce langage :

« J'éprouve un embarras étrange vis-à-vis de vous, que je ne sais de quel nom appeler. Hommes ? Vous ne faites aucune œuvre d'hommes. Citoyens ? Autant qu'il est en vous, vous laissez périr la cité. Romains ? Vous vous efforcez d'en abolir le nom. Mais, qui que vous soyez, quel que soit le nom dont il vous plaise d'être appelés, je n'en éprouve pas moins un sentiment extraordinaire. Malgré tout ce que je fais sans cesse pour augmenter la population, malgré la punition que je suis sur le point de vous infliger, je vois avec peine que vous

Ddf; vulg. : Καταθήσομαι. — 8. G om. — 9. C et Ddf : Ταῦτ' εἰπών. 10. G : τισὶ αὐτῶν. — 11. C : προσῆλθε. — 12. C : μέντοι. — 13. Bkk. et Ddf; vulg. : ὑμῶν.

R.p.811. ὄντας [1]· καὶ μᾶλλον ἂν ἐβουλόμην [2] τοσούτους μὲν τοὺς ἑτέρους ἐκείνους, οἷς προδιείλεγμαι [3], εἶναι, ἢ [4] ὅσοι ὑμεῖς ὁρᾶσθε· ὑμᾶς δὲ δὴ μάλιστα μὲν σὺν ἐκείνοις τετάχθαι, εἰ δὲ μὴ, μὴ εἶναι [5]· οἵτινες οὔτε τῆς τῶν θεῶν προνοίας, οὔτε τῆς τῶν προπατόρων ἐπιμελείας ἐνθυμηθέντες, ἐπιθυμεῖτε πᾶν μὲν τὸ γένος ἡμῶν [6] ἀφανίσαι, καὶ θνητὸν ὄντως ποιῆσαι, πᾶν δὲ τὸ Ῥωμαίων ἔθνος φθεῖραι καὶ παῦσαι. Τί μὲν γὰρ ἂν ὑπολειφθείη σπέρμα ἀνθρώπινον, ἂν τὰ αὐτὰ ὑμῖν καὶ οἱ ἄλλοι πάντες πράξωσιν [7]; Ὧν ἀρχηγοὶ γεγονότες [8], εὐλόγως ἂν τὴν αἰτίαν τῆς πανωλεθρίας ἔχοιτε [9]. Πῶς δ' οὐκ, ἂν μηδένες ἄλλοι ζηλώσωσιν ὑμᾶς, εἰκότως ἂν καὶ δι' αὐτὸ τοῦτο μισοῖσθε [10], ὅτι παρορᾶτέ τε ἃ μηδεὶς ἂν ἄλλος [11] παρίδοι, καὶ ἀμελεῖτε ὧν οὐδεὶς ἂν ἄλλος [12] ἀμελήσειε; Καὶ νόμους καὶ ἐπιτηδεύματα τοιαῦτα ἐσφέρετε, ἃ ζηλώσαντες μὲν, πάντες ἂν ἀπόλοιντο, μισήσαντες δ', ὑμᾶς ἂν δικαιώσειαν. Οὐδὲ γὰρ [13] οὐδὲ τῶν φονέων φειδόμεθα, ὅτι μὴ πάντες φονεύουσιν, οὐδὲ τοὺς ἱεροσύλους ἀφίεμεν, ὅτι μὴ πάντες ἱεροσυλοῦσιν· ἀλλ' ὅστις [14] ἂν τῶν ἀπειρημένων τι [15] πράττων ἁλῷ, καὶ ὑπὲρ

1. G : ὑμᾶς ὁρῶ πολλοὺς ὑμᾶς ὄντας (*sic*). — 2. Ddf : ἠβουλόμην.
3. C : προδιήλεγμαι. — 4. Sturz : « Ἢ delendum judicat Reiskius [et cum illo Bekkerus et Dindorfius]. Cohærere enim orationem sic : *Mallem illos priores numero vobis pares esse.* Ad verbum, *Tot esse, quot vos conspicio.* At ἤ refertur ad μᾶλλον. »
5. Vulg. : μὴ εἰδέναι ; K : μηδὲ εἰδέναι. Léonicène : *Voi non fussi al mondo*, d'où la conjecture de Rm. : μὴ εἶναι, que j'adopte avec Bkk.; St. et Ddf : μηδὲ εἶναι, leçon à l'appui de laquelle semble venir G : μὴ δὲ εἶναι.
6. Bkk. et Ddf; vulg. : ὑμων. — 7. K, Bkk. et Ddf; vulg. : πράξωσι

êtes beaucoup; j'aimerais mieux que le nombre de ces autres citoyens, à qui je viens de parler, fût égal au vôtre, plutôt que d'être ce que vous le voyez; que vous fussiez dans leurs rangs ou que vous ne fussiez pas, vous qui, sans songer à la providence des dieux, ni aux soins pris par nos ancêtres, désirez faire disparaître notre race, la rendre véritablement mortelle, perdre et anéantir le peuple romain tout entier. Quel moyen de propagation resterait-il à l'humanité, si les autres faisaient comme vous? Vous qui, les premiers, avez donné cet exemple, on aurait raison de vous accuser de la catastrophe qui l'aurait détruite. Comment donc, dût personne ne vous imiter, n'encourriez-vous pas une juste haine, rien que pour mépriser ce qu'aucun autre homme ne mépriserait, rien que pour négliger ce qu'aucun autre homme ne négligerait? Vous introduisez des lois et des mœurs telles, qu'on ne peut les suivre sans se perdre, les haïr sans vous condamner. Nous n'épargnons pas les meurtriers, parce que tout le monde ne commet pas de meurtres; nous ne relâchons pas les sacriléges, parce que tout le monde ne commet pas de sacriléges : quiconque est surpris faisant une action défendue, en est

(C : πράξωσιν) πάντες; C, G om. : πάντες. — 8. Les éd. antérieures à Rm., avec E : ἀρχὴ γεγονότες. La leçon de Rm., empruntée à C, est confirmée par les autres mss.

9. Bkk. et Ddf. ; vulg. : ἔχητε. — 10. C, G, I, St. Bekk. et Ddf; vulg. : μισεῖσθε.

11. C : ἃ μηδεὶς ἄλλος, avec omission de ἄν. — 12. G : ὧν οὐδεὶς ἄλλος, avec omission de ἄν; C om. : παρίδοι [G : παφρίδοι]... οὐδεὶς ἂν ἄλλος.

13. G om. : Οὐδὲ γάρ. — 14. Rsk., Bkk. et Ddf; vulg. : ἵν' ἄλλος ὅστις [G : ὅτις]; H : ἱεροσολοῦσι· ἵν' ἄλλος. — 15. G om.

αὐτοῦ τούτου κολάζεται[1], ὅτι μόνος, ἢ καὶ μετ' ὀλίγων, ποιεῖ τι τοιοῦτον ὃ μηδεὶς ἕτερος.

5. « Καίτοι κἂν τὰ μέγιστά τις ἀδικήματα ὀνομάσῃ, οὐδέν ἐστι τἄλλα πρὸς τοῦτο τὸ νῦν ὑφ' ὑμῶν γιγνόμενον, οὐχ ὅτι ἓν πρὸς ἓν ἐξεταζόμενα, ἀλλ' οὐδ' ὁμοῦ πάντα πρὸς τοῦτο τὸ ἓν παραβαλλόμενα. Καὶ γὰρ μιαιφονεῖτε, μηδὲ τεκνοῦντες ἀρχὴν τοὺς ἐξ ὑμῶν γεννηθῆναι ὀφείλοντας· καὶ ἀνασιουργεῖτε, τά τε ὀνόματα καὶ τὰς τιμὰς τῶν προγόνων παύοντες· καὶ ἀσεβεῖτε, τά τε γένη ὑμῶν τὰ καταδειχθέντα ὑπὸ τῶν θεῶν ἀφανίζοντες, καὶ τὸ μέγιστον τῶν ἀναθημάτων αὐτῶν, τὴν ἀνθρωπίνην φύσιν, ἀπολλύντες, τά τε ἱερὰ διὰ τούτου καὶ τοὺς ναοὺς αὐτῶν[2] ἀνατρέποντες. Καὶ μέντοι καὶ τὴν πολιτείαν καταλύετε, μὴ πειθόμενοι τοῖς νόμοις, καὶ αὐτὴν τὴν πατρίδα[3] προδίδοτε, στερίφην[4] τε καὶ ἄγονον ἀπεργαζόμενοι· μᾶλλον δὲ ἄρδην κατασκάπτετε, ἔρημον τῶν οἰκησόντων ποιοῦντες· ἄνθρωποι γάρ που πόλις ἐστὶν, ἀλλ' οὐκ οἰκίαι, οὐδὲ στοαὶ, οὐδ' ἀγοραὶ ἀνδρῶν κεναί. Ἐνθυμήθητε οὖν, τίνα μὲν οὐκ ἂν ὀργὴν ὁ Ῥωμύλος ἐκεῖνος ὁ ἀρχηγέτης ἡμῶν δικαίως λάβοι, λογισάμενος τά τε καθ' ἑαυτὸν, ὅθεν ἐγεννήθη, καὶ τὰ ὑμέτερα, ὅτι οὐδὲ ἐκ νομίμων γάμων παιδοποιεῖσθαι ἐθέλετε; Τίνα δ' οὐκ ἂν οἱ μετ' αὐτοῦ[5] Ῥωμαῖοι, ἐν-

1. G, Bkk. et Ddf; vulg. : κολάζηται.

2. G : ναοὺς τῶν αὐτῶν. — 3. G, K, St., Bkk., et Ddf (G, néanmoins, ne donne pas αὐτήν). Vulg. : καταλύοντες οὐ πείθεσθε [correction de Robert Étienne, adoptée par les éd. subséq., et confirmée par les autres mss., au lieu de πείσεσθε qui se lit dans C, E] τοῖς νόμοις, ἀλλὰ καὶ

puni, parce que, seul ou avec un petit nombre de complices, il fait des choses que ne fait aucun autre citoyen.

5. « Or, qu'on cite les crimes les plus grands, ils ne sont rien en proportion de celui que vous commettez maintenant, non-seulement si on les examine un à un, mais même si on les compare tous à la fois au vôtre, bien qu'il soit unique. Vous êtes meurtriers, en n'engendrant pas les enfants qui devaient naître de vous; vous êtes impurs, en éteignant le nom et les honneurs de vos ancêtres; vous êtes impies, en faisant disparaître votre race jadis créée par les dieux, en anéantissant la nature humaine, la plus belle des offrandes qui leur soit consacrée, en détruisant par là leurs sacrifices et leurs temples. Vous ne renversez pas moins la constitution de l'État, en n'obéissant pas aux lois; vous trahissez la patrie elle-même, en la frappant de stérilité et d'impuissance, ou, plutôt, vous la ruinez de fond en comble, en la privant de citoyens pour l'habiter un jour : car c'est dans les citoyens que consiste une ville, et non dans des maisons, dans des portiques ou dans des places désertes. Songez-vous à la juste indignation que ressentirait Romulus, notre fondateur, s'il considérait les générations de son temps et leur naissance avec les vôtres, à vous, qui refusez de donner le jour à des enfants issus d'une légitime union? à celle de ces Romains qui étaient avec lui, s'ils ré-

τὴν πατρίδα. Rsk. avait déjà proposé, pour suivre le mouvement de la phrase, de lire καταλύετε, οὐ πεισθέντες. — 4. St., Bkk. et Ddf; vulg. : στερισήν. — 5. Lncl., en marge, au lieu de αὐτόν, qui est dans E; Rm., St., Bkk. et Ddf ont adopté cette correction, confirmée d'ailleurs par les autres mss.

νοήσαντες ὅτι αὐτοὶ μὲν καὶ τὰς ἀλλοτρίας[1] κόρας ἥρπασαν, ὑμεῖς δὲ οὐδὲ τὰς οἰκείας ἀγαπᾶτε; καὶ οἱ μὲν καὶ ἐκ τῶν πολεμίων ἐπαιδοποιήσαντο, ὑμεῖς δὲ οὐδὲ ἐκ τῶν πολιτίδων τεκνοῦτε; τίνα ὁ Κούρτιος, ὁ καὶ ἀποθανεῖν ὑπομείνας, ἵνα μὴ στερηθῶσι τῶν γυναικῶν οἱ γεγαμηκό-
R.p.812. τες[2]; τίνα ἡ Ἐρσιλία[3], ἡ καὶ τῇ θυγατρὶ ἀκολουθήσασα[4], καὶ τὰ γαμικὰ[5] πάνθ' ἡμῖν καταδείξασα[6]; Ἀλλ' οἱ μὲν πατέρες ἡμῶν καὶ ἐπολέμησαν πρὸς Σαβίνους ὑπὲρ τῶν γάμων, καὶ κατελύσαντο, τῶν τε γυναικῶν αὐτῶν καὶ τῶν τέκνων συναλλαξάντων σφᾶς, ὅρκους[7] τε ἐπὶ τούτοις ἐπήγαγον, καὶ συνθήκας τινὰς ἐποιήσαντο· ὑμεῖς δὲ καὶ ἐκεῖνα πάντα συγχεῖτε. Διὰ τί; Ἵνα[8] καὶ αὐτοὶ ἀεὶ ἄγυνοι ἦτε[9], ὥσπερ αἱ ἀειπαρθένοι ἄνανδροι εἰσίν; Οὐκοῦν[10] καὶ κολάζεσθε, ἂν[11] ἀσελγαίνητέ τι, ὥσπερ καὶ ἐκεῖναι.

6. « Πικρῶς εὖ οἶδ' ὅτι καὶ τραχέως δοκῶ ὑμῖν διαλέγεσθαι. Ἀλλὰ πρῶτον μὲν λογίσασθε, ὅτι καὶ οἱ ἰατροὶ συχνοὺς καὶ καίοντες[12] καὶ τέμνοντες[13], ὅταν μὴ δύνωνται ἄλλως πως ὑγιεῖς[14] γενέσθαι, θεραπεύουσιν· ἔπειτα δὲ ὅτι[15] οὔτε ἑκὼν οὔθ' ἡδέως αὐτὰ λέγω· ὥστε ἐγὼ μὲν καὶ αὐτὸ τοῦθ' ὑμῖν ἐγκαλῶ, ὅτι με ἐς τούτους τοὺς λόγους προηγάγετε· ὑμεῖς δ', εἴπερ ἄχθεσθε τοῖς εἰρημένοις, μὴ

1. G : ἀλλοτρίκας (sic). — 2. Mettius Curtius. Cf. Tite-Live, I, 12, 13, et Plutarque, Vie de Romulus. — 3. E, G et les éd. antérieures à Rm. : Ἐρσηλία. — 4. C : ἀκολουθήσα, la dernière syllabe oubliée au commencement de la ligne suivante. Sur Hersilie, cf. Tite-Live, I, 11; Plutarque, Vie de Romulus; et Denys d'Halicarnasse. — 5. C : γαμηκά.
6. C : δείξασα. — 7. C : ὅρους. — 8. Rsk.; vulg., Bkk. et Ddf : Διὰ

fléchissaient qu'ils ont été jusqu'à ravir des filles de nation étrangère, tandis que vous, vous n'aimez même pas celles de votre pays ? que, lorsqu'ils ont engendré des enfants de femmes nées chez leurs ennemis, vous n'en avez pas même de celles qui sont nées chez vous ? à celle de Curtius, qui a souffert la mort pour que ceux qui étaient mariés ne fussent pas privés de leurs épouses ? à celle d'Hersilie, qui suivit sa fille et nous enseigna tous les rites concernant le mariage ? Nos pères ont fait la guerre aux Sabins pour leurs épouses ; ils se sont réconciliés avec eux, grâce à leurs épouses et à leurs enfants ; ils ont confirmé cette réconciliation par des serments, et conclu un traité d'alliance ; et vous, vous brisez tous ces liens. Pourquoi ? Pour ne point connaître de femmes, à l'imitation des Vestales, qui ne connaissent point d'hommes ? Eh bien ! soyez donc punis comme elles, quand vous violez la chasteté.

6. « Mes paroles, je le sais, vous semblent dures et cruelles. Mais réfléchissez, d'abord, que les médecins ont souvent recours au feu et au fer, quand ils ne peuvent guérir autrement les malades ; en second lieu, que c'est malgré moi et avec peine que je vous tiens ce langage : aussi est-ce encore là un reproche que je vous adresse de m'avoir réduit à cette extrémité ; puisque mes paroles vous affligent, ne tenez pas une conduite qui vous

τί ; Ἢ ἵνα. — 9. G : ἄγυναι ; C : ἄγυνοί τε ἦτε. — 10. G : εἰσι ; Οὐκοῦν. 11. G et Ddf : κολάζεσθ' ἄν. — 12. Ddf : κάοντες. — 13. K, St., Bkk. et Ddf ; vulg. om. : καὶ τέμνοντες ; Léonicène : *col ferro e col fuoco*, ce qui fait supposer que son ms. portait τέμνοντες καὶ καίοντες, que Rsk. a reproduit dans ses notes. — 14. C : ὑγιαινεῖν. — 15. K, Sturz et Ddf ; vulg. om. ; Bkk. : ἐπειθ' ὅτι.

ποιεῖτε ταῦτα ἐφ' οἷς ἀναγκαίως κακῶς ἀκούετε. Εἰ γὰρ δὴ δάκνει τινὰς ὑμῶν τὰ ὑπ' ἐμοῦ λεγόμενα, πῶς οὐ πολὺ μᾶλλον καὶ ἐμὲ καὶ τοὺς ἄλλους Ῥωμαίους πάντας τὰ [1] ὑφ' ὑμῶν ποιούμενα; Οὐκοῦν, εἴπερ ὡς ἀληθῶς ἀσχάλλετε, μεταβάλεσθε [2], ἵνα καὶ ἐπαινέσω ὑμᾶς καὶ διαμείψωμαι. Ὅτι γὰρ οὔτε τῇ φύσει χαλεπός εἰμι, πάντα τε ὅσα προσῆκον ἦν τὸν ἀγαθὸν νομοθέτην πρᾶξαι, ἀνθρωπίνως [3] προκατεστησάμην, οὐδ' αὐτοὶ ἀγνοεῖτε. Ἦν μὲν γὰρ οὐδὲ πρόσθεν ἐξὸν ἀμελεῖν τισι παιδοποιΐας καὶ γάμων· καὶ γὰρ ἀπ' ἀρχῆς εὐθὺς ἅμα [4] τῇ πρώτῃ τῆς πολιτείας καταστάσει ἀκριβῶς περὶ αὐτῶν ἐνομοθετήθη, καὶ μετὰ τοῦτο πολλὰ καὶ τῇ βουλῇ καὶ τῷ δήμῳ ἔδοξεν, ἃ περιττὸν ἂν [5] εἴη καταλέγειν [6]. Ἐγὼ δὲ ἐπηύξησα μὲν τὰ ἐπιτίμια τοῖς ἀπειθοῦσιν, ἵνα φόβῳ τοῦ περιπεσεῖν αὐτοῖς σωφρονίζοισθε [7]· ἔθηκα [8] δὲ καὶ ἆθλα τοῖς πειθαρχοῦσι τοσαῦτα [9] καὶ τηλικαῦτα, ἡλίκα καὶ οἷα ἐπ' οὐδεμιᾷ ἄλλῃ [10] ἀνδραγαθίᾳ δίδοται· ἵνα εἰ καὶ διὰ μηδὲν ἄλλο, διά γε ταῦτα καὶ γαμεῖν καὶ παιδοποιεῖν ἀναπείθοισθε [11]. Ἀλλ' ὑμεῖς οὔτε ἐκείνων τινὸς ὀριγνηθέντες, οὔτε τῶν ἐπιτιμίων τι φοβηθέντες, πάντα τε αὐτὰ κατεφρονή-

1. Lncl., en marge, K, St., Bkk. et Ddf; vulg. om. — 2. Bkk. et Ddf; vulg. : μεταβάλλεσθε.

3. Rsk. : « Latinismus est, pro ἐπιεικῶς, φιλανθρώπως, *humane*. »

4. C : ἅμα εὐθύς. Une loi antique, rapportée par Denys d'Halicarnasse, à propos des Fabius tués à Créméra, l'an de Rome 279, obligeait tout citoyen arrivé à l'âge viril à prendre femme. — 5. C om. — 6. La loi de Jules César (XLIII, 25) n'avait pas été sans précédents. L'an de Rome 622, Q. Metellus, étant censeur, avait proposé une loi dans le

mette dans la nécessité d'entendre des choses désagréables. Si ce que je dis est douloureux pour vous, combien votre manière d'agir ne l'est-elle pas davantage et pour moi et pour tous les autres Romains ! Si donc vous êtes véritablement affligés, changez de sentiments, pour que je puisse vous donner des éloges et des récompenses. Je n'ai pas le caractère chagrin ; toutes les mesures que devait adopter un bon législateur, je les ai proposées en homme ; vous-même, vous ne l'ignorez pas. Déjà auparavant, il n'était permis à personne de renoncer à avoir des enfants et à prendre une épouse ; dès le principe, en effet, et en même temps que s'établissait la république, ce point a été réglé avec soin par la loi ; plus tard, il y a eu à ce sujet de nombreux décrets et du sénat et du peuple, décrets qu'il serait superflu d'énumérer ici. Quant à moi, j'ai augmenté les punitions contre ceux qui les enfreignent, afin que la crainte de ces peines vous retînt ; j'ai établi en faveur de l'obéissance des prix tels par la grandeur et le nombre que, pour aucun mérite, il n'en est donné de pareils, afin qu'à défaut d'autre motif, ils vous engageassent à vous marier et à donner le jour à des enfants. Mais vous, sans désir des récompenses ni crainte des punitions, vous avez méprisé tout

même sens ; c'est un de ces discours qu'Auguste, au rapport de Suétone (89), lut tout entier au sénat et au peuple, discours dont Aulu-Gelle, I, 3, nous a conservé le commencement et que remplace mal pour nous la plate amplification de Dion Cassius.

7. G, I; Bkk. et Ddf; vulg. : σωφρονίζησθε. — 8. C, G, St., Bkk. et Ddf; vulg. : ἔθεικα. — 9. Bkk. : τοιαῦτα.

10. G : ἄλλοι.

11. G Bkk. et Ddf.; vulg. : ἀναπείθησθε.

σατε, καὶ πάντα αὐτὰ, ὡς οὐδὲ ἐν πόλει τινὶ οἰκοῦντες, κατεπατήσατε. Καὶ φατὲ μὲν εὔζωνον δὴ[1] τοῦτον καὶ ἐλεύθερον βίον, τὸν ἄγυνον καὶ ἄτεκνον, ἐπανηρῆσθαι· ληστῶν δὲ δὴ καὶ θηρίων τῶν ἀγριωτάτων οὐδὲν διαφέρετε.

7. « Οὐ γὰρ δὲ δήπου[2] μοναυλίᾳ χαίρετε, ἵν' ἄνευ γυναικῶν διάγητε· οὐδὲ ἔστιν ὅστις ὑμῶν ἢ σιτεῖται μό-
R.p.813 νος, ἢ καθεύδει μόνος, ἀλλ' ἐξουσίαν καὶ ὑβρίζειν καὶ ἀσελγαίνειν ἔχειν ἐθέλετε. Καίτοι καὶ μνηστεύειν ὑμῖν ἁπαλὰς[3] ἔτι κόρας καὶ μηδέπω γάμων ὡραίας[4] ἐπέτρεψα, ἵνα τὸ ὄνομα τῶν μελλονυμφίων[5] ἔχοντες, οἰκωφελῶς βιῴητε· καὶ ἐξελευθέρας τοῖς γε ἔξω τοῦ βουλευτικοῦ οὖσιν ἄγεσθαι συνεχώρησα[6], ἵν' εἰ καί τις ἐξ ἔρωτος ἢ καὶ συνηθείας τινὸς ἐς τοῦθ' ὑπαχθείη[7], ἐννόμως αὐτὸ ποιοίη. Καὶ οὐδὲ ἐς[8] ταῦτα μέντοι κατήπειξα ὑμᾶς, ἀλλὰ τὸ μὲν πρῶτον τρία ἔτη ὅλα πρὸς παρασκευὴν ὑμῖν ἔδωκα· τὸ δὲ δεύτερον, δύο[9]. Ἀλλ' οὐδὲν οὐδ' οὕτως οὔτ' ἀπειλῶν, οὔτε προτρέπων, οὔτ' ἀναβαλλόμενος, οὔτε δεόμενος πεποίηκα[10]. Ὁρᾶτε γὰρ καὶ αὐτοὶ ὅσῳ πλείους τῶν γεγαμηκότων ἐστὲ, οὓς ἐχρῆν ἤδη τοσούτους ἑτέρους, μᾶλλον δὲ πολλαπλασίους παῖδας ἡμῖν παρεσχηκέ-

1. Bkk.; G et Ddf : τὸν εὔζωνον δή; vulg. : τὸν εὔζωνον μὲν δή.

2. Rsk., Bkk. et Ddf; vulg. : γὰρ δὴ δήπου., que St. essaye de défendre : *Nam non quidem certe.*

3. G : ἁπαλλάς (*sic*). — 4. E (corrigé par Robert Étienne et les éd. subséq.) et C, G, H : ὥρας; Xld. aimerait mieux lire, comme Plutarque, Vie de Thésée, en parlant d'Hélène : ὥραν ἐχούσας. Fabricius défend la

cela, et, comme si vous n'habitiez pas au milieu de citoyens, vous avez tout foulé aux pieds. Vous avez beau appeler facile et libre cette vie que vous avez choisie, cette vie exempte des ennuis causés par une femme et des enfants, vous ne différez en rien des brigands et des bêtes les plus féroces.

7. « Si cette vie solitaire vous plaît, ce n'est pas parce que vous vous passez de femmes ; aucun de vous ne mange seul, ne dort seul : ce que vous voulez, c'est la libre satisfaction de vos passions et de vos déréglements. Et pourtant, je vous ai permis de vous fiancer à des jeunes filles non encore nubiles, afin que le nom de futur époux vous déterminât à prendre soin de votre maison ; j'ai accordé aux citoyens qui ne sont pas de l'ordre sénatorial, d'épouser des filles d'affranchis, afin que celui qui y serait entraîné par l'amour, ou par un commerce habituel, puisse contracter ainsi une union légitime. Je ne vous ai même pas pressés ; je vous ai accordé, la première fois, trois années entières pour vous préparer ; la seconde fois, deux années encore. Malgré cela, ni menaces, ni exhortations, ni délais, ni prières, n'ont rien obtenu. Vous voyez vous-mêmes combien votre nombre est supérieur à celui des citoyens mariés, lorsque déjà vous devriez nous avoir donné un nombre

correction d'Étienne, qui, d'ailleurs, s'appuie sur l'autorité de I et de K.

5. Rsk : μελλονύμφων ; mais (cf. Pollux, III, 15) il n'y a rien à changer. — 6. Cf. LIV, 16.

7. Ddf : ταῦθ' ὑπαχθείη.

8. Bkk. : οὐδὲ ἑς. — 9. Cf. LIV, 16. — 10. Ddf. ; vulg. : δέομενός τι πεποίηκα. Bkk., en note : « Τι abundat. »

ναι. Πῶς μὲν γὰρ ἂν ἄλλως τὰ γένη διαμείνειε[1]; πῶς δ' ἂν τὸ κοινὸν διασωθείη, μήτε γαμούντων ὑμῶν[2], μήτε παιδοποιουμένων; Οὐ γάρ που καὶ ἐκ τῆς γῆς προσδοκᾶτέ τινας ἀναφύσεσθαι[3] τοὺς διαδεξομένους τά τε ὑμέτερα καὶ τὰ δημόσια, ὥσπερ οἱ μῦθοι λέγουσιν. Οὐ μὴν οὐδ' ὅσιον ἢ καὶ καλῶς ἔχον ἐστὶ, τὸ μὲν ἡμέτερον γένος παύσασθαι, καὶ τὸ ὄνομα τὸ[4] Ῥωμαίων ἐν[5] ἡμῖν ἀποσβῆναι, ἄλλοις δέ τισιν ἀνθρώποις Ἕλλησιν ἢ καὶ βαρβάροις τὴν πόλιν ἐκδοθῆναι. Ἢ τοὺς μὲν δούλους δι' αὐτὸ τοῦτο μάλιστα ἐλευθεροῦμεν, ὅπως ὡς πλείστους ἐξ αὐτῶν πολίτας ποιώμεθα· τοῖς τε συμμάχοις τῆς πολιτείας μεταδίδομεν, ὅπως πληθύωμεν· αὐτοὶ δ' ὑμεῖς[6], οἱ ἀπ' ἀρχῆς Ῥωμαῖοι, οἱ[7] τοὺς προγόνους ἐκείνους τοὺς Μαρκίους, τοὺς Φαβίους[8], τοὺς Κυϊντίους[9], τοὺς Οὐαλερίους, τοὺς Ἰουλίους[10] καταλέγοντες, ἐπιθυμεῖτε μεθ' ὑμῶν αὐτῶν καὶ τὰ γένη ἅμα καὶ τὰ ὀνόματα ἀπολέσαι;

8. « Ἀλλ' ἔγωγε αἰσχύνομαι[11] καὶ ὅτι τοιοῦτον εἰπεῖν[12] προήχθην, καὶ ὅτι ὑμεῖς τοιαῦτα ποιεῖτε[13]. Παύσασθε οὖν μαινόμενοι, καὶ λογίσασθε ἤδη ποτὲ ὅτι ἀδύνατόν ἐστι, πολλῶν μὲν ἐν ταῖς νόσοις, πολλῶν δὲ καὶ[14] ἐν τοῖς πολέμοις ἑκάστοτε τελευτώντων, σωθῆναι τὴν πόλιν, ἂν μὴ τὸ πλῆθος αὐτῆς ἐκ τῶν ἀεὶ ἐπιγιγνομένων ἀναπληρῶται.

1. I, St., Bkk. et Ddf; vulg. : διαμένειε. — 2. I : ἡμῶν. — 3. Bkk., en note, comme conjecture, et Ddf; vulg. : ἀναφύεσθαι — 4. C : τῶν.
5. Com. — 6. C : ἡμεῖς. — 7. Bkk. et Ddf; vulg. om. — 8. Léonicène, I, G, K, Bkk. et Ddf; vulg. om. : τοὺς προγόνους... Φαβίους.
9. Vulg. : Κυίντους, qui ressemble à un prénom; aussi plusieurs

d'enfants égal ou plutôt supérieur au vôtre. Comment, en effet, les générations se perpétueront-elles, comment l'État subsistera-t-il, si vous ne vous mariez pas, si vous n'avez pas d'enfants? Vous n'espérez sans doute pas que, comme dans la Fable, il sorte de la terre des hommes pour succéder à vos biens et à ceux de l'État. Ce serait une impiété, et aussi une honte, si notre race périssait, si le nom romain s'éteignait avec nous, si notre ville était livrée à des étrangers, à des Grecs, par exemple, ou à des barbares. Quoi! nous affranchissons les esclaves, pour le seul motif de rendre le nombre des citoyens aussi grand que possible; nous accordons aux alliés le droit de cité, pour augmenter notre population; et vous, vous, Romains d'origine, vous qui citez avec orgueil comme ancêtres les Marcius, les Fabius, les Quintius, les Valérius, les Julius, vous désirez voir leur race et leur nom périr avec vous?

8. « Pour moi, je rougis d'avoir été réduit à tenir un tel discours; je rougis de votre conduite. Renoncez donc à votre délire, et songez qu'après les maladies, après les guerres qui ont moissonné successivement tant de citoyens, il est impossible que l'État subsiste, si les vides de la population ne sont pas remplis par des

savants et, entre autres, Spanheim (Usage des médailles, dissertation X) voudraient lire Κυϊντίους, leçon que j'adopte, bien que contraire à tous les mss. et à Léonicène. — 10. C, G : Ἰούλλους. — 11. C : ἐγωγε καὶ αἰσχύνομαι. — 12. C : τοιοῦτόν τι εἰπεῖν. — 13. G om. : καὶ ὅτι... ποιεῖτε. 14. C om. : ἐν ταῖς νόσοις, πολλῶν δὲ καί.

Καὶ μηδεὶς ὑμῶν οἰέσθω με ἀγνοεῖν, ὅτι ἔστι τινὰ καὶ ἐν τῷ γάμῳ καὶ ἐν τῇ τεκνοποιΐᾳ καὶ δυσχερῆ καὶ λυπηρά· ἀλλ' ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι οὐδ' ἄλλο τι ἀγαθὸν ἔχομεν, ᾧ μὴ καὶ ἀνιαρόν τι παραμέμικται, καὶ τοῖς γε πλείστοις καὶ μεγίστοις αὐτῶν πλεῖστα καὶ μέγιστα συμπέφυκεν. Ὥστ' εἰ ταῦτα ἐκκλίνετε [1], μηδὲ ἐκείνων [2] ἐπορέγεσθε. Πᾶσι γὰρ, ὡς εἰπεῖν, τοῖς ἀρετὴν καὶ ἡδονήν τινα εἰλι-
R. p. 814. κρινῆ ἔχουσι καὶ προπονεῖν καὶ συμπονεῖν καὶ ἐπιπονεῖν χρή· τί γὰρ δεῖ καθ' ἕκαστον αὐτῶν ἐπεξιόντα μακρηγορεῖν [3]; Οὐκοῦν εἰ καὶ ἐν τῷ γῆμαι καὶ ἐν τῷ τεκνῶσαι ἀνιαρά τινα ἔνεστιν, ἀντιλογίζεσθε καὶ τὰ ἀμείνονα· καὶ πλείω τε καὶ ἀναγκαιότερα αὐτὰ εὑρήσετε. Πρὸς γὰρ δὴ τοῖς ἄλλοις ἀγαθοῖς τοῖς φύσει προσοῦσιν αὐτοῖς, καὶ τὰ παρὰ τῶν νόμων ἆθλα, ὧν πολλοστὸν μέρος καὶ ἀποθνήσκειν συχνοὺς ἀναπείθει [4], πάντα ἄν τινα πειθαρχῆσαί μοι ὑπαγάγοιτο. Καίτοι πῶς οὐκ αἰσχρὸν, ὑπὲρ ὧν ἕτεροι καὶ ἑαυτοὺς προΐενται, ὑπὲρ τούτων ὑμᾶς μήτε γυναῖκας ἄγεσθαι, μήτε τέκνα τρέφειν βούλεσθαι;

9. « Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες πολῖται (νομίζω γὰρ ὑμᾶς νῦν γε πεπεικέναι, καὶ ἐν τῷ τῶν πολιτῶν ὀνόματι ἐμμεῖναι, καὶ τὴν τῶν ἀνδρῶν τῶν τε πατέρων προσηγορίαν προσλαβεῖν), ταῦθ' ὑμῖν ἐπετίμησα, ἀηδῶς μὲν, ἀναγκαίως δέ· οὐχ ὡς ἐχθρὸς, οὐδ' ὡς μισῶν ὑμᾶς, ἀλλὰ φιλῶν, καὶ ἐπιθυμῶν καὶ ἑτέρους ὁμοίους [5] ὑμῖν πολλοὺς

1. C, I et Ddf : ταῦτ' ἐκκλίνετε. — 2. Bkk. : μηδ' ἐκείνων.
3. G : μακρηγονεῖν.

naissances continuelles. Que personne de vous, cependant, ne me soupçonne d'ignorer qu'il y a, dans le mariage et dans les enfants à qui on donne le jour, des choses fâcheuses et affligeantes; mais réfléchissez qu'il n'y a aucun bien auquel il ne se mêle quelque douleur, et que les plus nombreux et les plus grands donnent naissance aux maux les plus grands et les plus nombreux. Si donc vous fuyez les uns, ne recherchez pas les autres. Tout, pour ainsi dire, ce qui renferme une vertu et une joie pure est précédé, accompagné, suivi de peines. Qu'est-il besoin, en effet, de s'étendre en longs discours sur chacun de ces points? S'il y a quelques incommodités à prendre femme et à procréer des enfants, songez, à l'encontre, qu'il y a aussi des avantages; et ces avantages, vous trouverez qu'ils sont plus nombreux et qu'ils vous touchent de plus près. Puissent donc, outre le bonheur attaché par la nature à la condition de mari et de père, les récompenses établies par les lois, récompenses qui déterminent en grande partie beaucoup d'hommes à subir même la mort, vous décider tous à m'obéir! Comment ne serait-ce pas une honte, si, par les motifs pour lesquels les autres hommes sacrifient jusqu'à leur vie, vous refusiez de conduire une épouse dans votre maison et d'élever des enfants?

9. « Quant à moi, citoyens (car maintenant, j'en ai la conviction, vous êtes persuadés, vous voulez conserver le nom de citoyens et prendre le titre d'époux et de pères), je vous ai adressé ces reproches, non par plaisir, mais par nécessité; non comme un homme qui vous est hostile et qui vous hait, mais comme un homme qui vous aime et qui désire conquérir à ses vues une foule

4. Allusion aux soldats et aux gladiateurs.

5. G : ὁμοίως.

κτήσασθαι· ἵν' ἑστίας ἐννόμους οἰκοῦντες, καὶ οἰκίας πλήρεις γενῶν ἔχοντες, τοῖς τε θεοῖς μετά τε τῶν γυναικῶν καὶ μετὰ τῶν παίδων προσερχώμεθα, καὶ ἀλλήλοις ὁμιλῶμεν, πάντα τε ἐκ τοῦ ἴσου παραβαλλόμενοι, καὶ τὰς ἐπ' αὐτοῖς ἐλπίδας ἐκ τοῦ ὁμοίου καρπούμενοι. Ἢ πῶς μὲν ἂν καλῶς ἄρχοιμι ὑμῶν, ἂν ἐλάττους ὑμᾶς ἀεὶ γιγνομένους ὁρῶν ἀνέχωμαι; Πῶς δ' ἂν ἔτι πατὴρ ὑμῶν ὀρθῶς ὀνομαζοίμην, ἂν μὴ καὶ παῖδας τρέφητε; Ὥστ' εἴπερ [1] ὄντως τά τε ἄλλα ἀγαπᾶτέ με, καὶ ταύτην μοι τὴν προσηγορίαν οὐχ ὡς κολακεύοντες, ἀλλ' ὡς τιμῶντες [2], ἐδώκατε, ἐπιθυμήσατε καὶ ἄνδρες καὶ πατέρες γενέσθαι· ἵνα καὶ αὐτοὶ τῆς ἐπωνυμίας ταύτης μεταλάβητε, καὶ ἐμὲ φερώνυμον αὐτῆς ποιήσητε. »

10. Καὶ [3] τότε μὲν τοιαῦτα ἀμφοτέροις αὐτοῖς διελέχθη· μετὰ δὲ δὴ τοῦτο, τοῖς μὲν τὰ τέκνα ἔχουσι τὰ γέρα προσεπηύξησε, τοὺς δὲ γεγαμηκότας ἀπὸ τῶν ἀγύνων τῷ τῶν ἐπιτιμίων [4] διαφόρῳ διεχώρισε [5]· καὶ ἑνιαυτὸν ἑκατέροις [6], ἐς τὸ τοὺς πειθαρχήσαντάς οἱ ἐν τῷ χρόνῳ τούτῳ ἀναιτίους γενέσθαι, προσεπέδωκε. Τῶν τε γυναικῶν τισι καὶ παρὰ τὸν Οὐοκώνειον νόμον [7], καθ' ὃν οὐδεμιᾷ αὐτῶν οὐδενὸς ὑπὲρ δύο ἥμισυ μυριάδας οὐσίας κληρονομεῖν ἐξῆν, συνεχώρησε τοῦτο ποιεῖν· καὶ ταῖς ἀει-

1. Henri Étienne et les éd. subséq.; C : Ὥστε εἴπερ; E : ὡς εἴπερ.
2. C : ἀλλὰ τιμῶντες. — 3. K et Ddf om. — 4. Rsk· : « Τὰ ἐπιτίμια hic loci non sunt *mulctæ*, quod plerumque notat id vocabulum, sed *ea, quæ factum aliquod insequuntur, merita*, seu bonum bona, præmia, seu malum mala, pœnæ. » — 5. C : διεχώρησε.

de citoyens semblables à vous ; afin qu'habitant des pénates légitimes, qu'ayant nos maisons remplies d'une nombreuse postérité, nous nous approchions, avec nos femmes et nos enfants, des autels des dieux ; afin que, dans de mutuels rapports, nous mettions sur la même ligne tous nos intérêts et nous jouissions semblablement des espérances qui en découlent. Comment pourrais-je vous bien gouverner, si je laisse tranquillement votre nombre diminuer tous les jours sous mes yeux ? Comment pourrais-je justement encore être appelé votre père, si vous n'élevez pas d'enfants ? Si donc vous m'aimez véritablement, si ce titre de père, que vous m'avez donné, n'est pas une adulation, mais un honneur, souhaitez de devenir époux et pères, afin d'avoir une part dans ce surnom et de faire que je le porte avec vérité. »

10. Tel fut le discours qu'il tint alors aux deux groupes ; il augmenta ensuite les récompenses de ceux qui avaient des enfants, et distingua les citoyens mariés des célibataires, par la différence dans la manière de les traiter ; il prolongea aussi d'une année, pour les uns comme pour les autres, le délai pendant lequel ceux qui obéiraient à son ordre devaient être mis hors de cause. Il dispensa aussi quelques femmes de la loi Voconia, qui leur interdisait tout héritage surpassant vingt-cinq mille drachmes, et

6. Cet ἑκατέροις n'a pas ici sa raison d'être ; aussi Rsk. propose-t-il de le supprimer. — 7. Loi portée, l'an de Rome 684, par le tribun Q. Voconius, et soutenue par Caton (Cicéron, de la Vieillesse, 5), alors âgé de soixante-quinze ans. C'est cette loi dont Auguste (ch. 32), voulant instituer Livie son héritière, sollicite du sénat la dispense pour elle.

παρθένοις πάνθ' ὅσα περ αἱ τεκοῦσαι [1] εἶχον, ἐχαρίσατο [2].
R. p.815. Κἀκ τούτου ὁ τε Πάπιος [3] καὶ ὁ Ποππαῖος νόμος [4] ὑπό τε Μάρκου Παπίου Μουτίλου καὶ ὑπὸ Κυΐντου Ποππαίου Σεκούνδου [5], τῶν τότε ἐν μέρει τοῦ ἔτους ὑπατευόντων [6], ἐτέθησαν [7]. Καὶ συνέβη γὰρ ἀμφοτέρους σφᾶς μὴ ὅτι παῖδας, ἀλλὰ μηδὲ γυναῖκας ἔχειν [8]· καὶ ἀπ' αὐτοῦ τούτου ἡ ἀνάγκη τοῦ νόμου κατεφωράθη [9]. Ἐν μὲν οὖν τῇ Ῥώμῃ ταῦτ' ἐπράχθη [10].

11. Γερμανικὸς [11] δὲ ἐν τούτῳ ἄλλα τε χωρία Δελματικὰ εἷλε, καὶ Σπλαῦνον [12], καίπερ τῇ τε φύσει ἰσχυρὸν [13] ὄν, καὶ τοῖς τείχεσιν εὖ πεφραγμένον, τούς τε ἀμυνομένους παμπληθεῖς ἔχον. Οὐκοῦν οὔτε μηχαναῖς, οὔτε προσβολαῖς [14] ἠδυνήθη [15] τι ἐξεργάσασθαι, ἀλλ' ἐκ τοιᾶσδε αὐτὸ

1. Rm. (Bkk. adopte sa conjecture) pense qu'il faut peut-être lire αἱ τρὶς τεκοῦσαι, comme expression déjà employée par Dion (LV, 2) à propos de Livie. Mais il est à remarquer aussi que les jurisconsultes disaient également *Jus liberorum* et *Jus trium liberorum*; c'est pourquoi, avec Ddf, je ne change rien. C : τεκνοῦσαι. — 2. Ce privilége, accordé, au rapport de Dion, par Auguste aux Vestales, leur avait déjà été donné par Numa, suivant Plutarque : Τιμὰς δὲ μεγάλας ἀπέδωκεν αὐταῖς, ὧν ἐστι καὶ διαθέσθαι ζῶντος ἐξεῖναι πατρὸς, καὶ τἆλλα πράττειν ἄνευ προστάτου διαγούσας, ὥσπερ αἱ τρίπαιδες. — 3. Bkk. et Ddf, pour se conformer à l'orthographe latine; vulg. : Πάππιος, et Πάππιον un peu plus loin; G : Πώπιος.

4. Xld., Rm., St., Bkk. et Ddf; B, H : ποπλιόνομος; E, I et Léonicène : Πόπλιος (et un peu plus loin, avec C : Ποπλίου) νόμος..

5. G, H, K : Σεκούδου; Lncl. : Σαβίνου, confondant Q. Poppéus Sabinus, qui fut consul l'an de Rome 762, avec Q. Poppéus Secundus, qui le fut, la même année, à partir des calendes juliennes, avec M. Papius Mutilus pour collègue, comme il est marqué dans les *Tab. Capitol.* de Gruter (CCXCV). C'était donc Papius, et non Sabinus, qui était le collègue de Poppéus, lorsque la loi fut portée. — 6. Cf. la note précédente.

il concéda aux Vestales tous les priviléges des femmes ayant des enfants. En conséquence de ce qui précède, la loi Papia-Poppéa fut portée par les consuls M. Papius Mutilus et Q. Poppéus Secundus, qui étaient en charge durant cette partie de l'année. Par un effet du hasard, ni l'un ni l'autre n'avait, je ne dis pas d'enfants, mais même de femme, ce qui fit comprendre la nécessité de cette loi. Voilà ce qui eut lieu dans Rome.

11. Pendant ce temps, Germanicus s'empara de Splanus, entre autres places de la Dalmatie, bien qu'elle fût naturellement forte, protégée par de bons remparts, et défendue par une nombreuse garnison. Aussi ni machines ni assauts n'en purent venir à bout, et sa prise ne fut due qu'à une heureuse circonstance que voici.

7. Rm. préférerait ἐτέθη, attendu, dit-il, que la loi fut l'œuvre des deux consuls à la fois, ou plutôt celle d'Auguste, qui se cachait derrière eux.

8. G : ἔχειν. — 9. H : κατεφοράθη. — 10. C, G, H, I, K et Ddf; vulg. et, Bkk. : ταῦτα ἐπράχθη. — 11. Le passage qui commence ce chapitre, jusqu'à ἀπήλλαξαν, se lit habituellement au ch. 33 du livre précédent, où il débute ainsi : Τοῦ δέ γε Γερμανικοῦ τοῦ υἱέος Δρούσου, ὡς εἴρηται, κατ' αὐτῶν ἐστρατευμένου, καὶ πόλει τινὶ ὀχυρᾷ προσκαθημένου, καὶ μὴ οἷόν τε [C : οἱ οὔτε] γιγνομένου ταύτην ἑλεῖν, Πουλίων ἱππεὺς, κ. τ. λ. Avec G, K, St., Bkk. et Ddf, je le transporte ici, où les événements racontés se trouvent à leur place chronologique. Avant St., on lisait ici : Οἱ δέ γε μετὰ Γερμανικοῦ Ῥωμαῖοι ἐπὶ Ῥαΐτινον, τῆς Δαλματίας πόλιν, ἐλθόντες οὐ καλῶς ἀπήλλαξαν. — 12. Bien que cette ville ne soit connue d'aucun géographe ancien, Morelli (cf. la note 36 dans St.) croit que c'est d'elle qu'il est parlé dans une ancienne inscription qui se lit sur un marbre existant encore à Salone : T. FLAVIO. T. FILIO. . . . . CVRATORI REIPVB. SPLONISTARVM. — 13. St. : « Prope erat ut ὀχυρόν reponerem. Sed recte dicitur utrumque. »

14. G : προβολαῖς.

15. St. (*Addenda*), Bkk. et Ddf; vulg. : ἐδυνήθη.

συντυχίας ἐλαβε. Πουσίων [1], ἱππεὺς Κελτὸς, λίθον ἐς τὸ τεῖχος ἀφεὶς, οὕτω τὴν ἔπαλξιν [2] διέσεισεν, ὥστε [3] αὐτήν τε [4] αὐτίκα πεσεῖν, καὶ τὸν ἄνδρα τὸν ἐπικεκλιμένον οἱ συγκατασπάσαι. Γενομένου δὲ τούτου, ἐκπλαγέντες οἱ ἄλλοι καὶ φοβηθέντες, τό τε τεῖχος ἐκεῖνο ἐξέλιπον [5], καὶ ἐς τὴν ἀκρόπολιν ἀνέδραμον, καὶ μετὰ τοῦτο καὶ ταύτην καὶ ἑαυτοὺς παρέδοσαν. Ἐντεῦθεν δὲ ἐπὶ Ῥαίτινον [6] ἐλθόντες οἱ Ῥωμαῖοι [7] οὐχ ὁμοίως ἀπῆλλαξαν. Οἱ γὰρ ἐναντίοι, βιαζόμενοι τῷ πλήθει σφῶν, καὶ μὴ δυνάμενοι ἀντέχειν, πῦρ ἐθελούσιοι ἔς τε τὸν κύκλον τὸν [8] πέριξ καὶ ἐς τὰ οἰκοδομήματα τὰ [9] πλησίον αὐτοῦ ἐνέβαλον [10], μηχανησάμενοι ὅπως ὅτι μάλιστα μὴ παραχρῆμα ἐκλάμψῃ, ἀλλ' ἐπὶ χρόνον τινὰ διαλάθῃ [11]. Καὶ οἱ μὲν, τοῦτο ποιήσαντες, ἐς τὴν ἄκραν ἀνεχώρησαν· ἀγνοοῦντες δὲ οἱ Ῥωμαῖοι τὸ πεπραγμένον, ἐπεσέπεσον ὡς καὶ αὐτοβοεὶ [12] πάντα διαρπάσοντες· καὶ ἔσω [13] τε τῆς τοῦ πυρὸς περιβολῆς ἐγένοντο, καὶ οὐ πρότερον εἶδον [14] αὐτὸ, πρὸς τοὺς πολεμίους τὸν νοῦν ἔχοντες, πρὶν πανταχόθεν ὑπ' αὐτοῦ περιληφθῆναι. Τότε δὲ ἐν παντὶ κινδύνου ἐγένοντο, ἄνωθεν μὲν ὑπὸ τῶν ἀνθρώπων βαλλόμενοι, ἔξωθεν δὲ ὑπὸ τῆς φλογὸς κακούμενοι, καὶ μήτε κατὰ χώραν ἀσφαλῶς μεῖναι, μήτε πῃ

1. K, St. Bkk. et Ddf; G : Πουσὶ (*sic*, mot tronqué); vulg. : Πουλίων. Peut-être, dit St., ce cavalier était-il d'une taille beaucoup plus petite que les autres Germains, ce qui lui aurait valu de la part des Romains ce nom de *Pusio*. — 2. G : ἔπαξιν. — 3. C, H : διέσεισε, ὥστε.

4. G, K, Bkk. et Ddf; vulg. om. — 5. H : ἐξέλιπεν. — 6. G : Ῥαΐτινες. Avec G, K, St., Bkk. et Ddf, je supprime les mots (cf. la note 11, à la p. précéd.)

Pusion, cavalier germain, ayant lancé une pierre contre le mur, ébranla tellement le parapet qu'il s'écroula aussitôt, entraînant dans sa chute un soldat qui s'y appuyait. Cet accident ayant frappé les autres de crainte, ils abandonnèrent ce mur, et coururent se réfugier dans la citadelle qu'ils livrèrent ensuite avec leurs propres personnes. De là, s'étant dirigés sur Rhétinum, les Romains n'y obtinrent pas le même succès. Les ennemis, en effet, pressés par le nombre et ne pouvant résister, mirent volontairement le feu à l'enceinte des remparts et aux édifices voisins, en prenant les plus grandes précautions pour qu'au lieu d'éclater sur-le-champ, il couvât pendant un certain temps. Cela fait, ils se retirèrent dans la citadelle : les Romains, sans soupçon du piége, se précipitèrent dans la place avec la persuasion qu'ils allaient tout enlever d'emblée, entrèrent dans le cercle de feu, et ne s'en aperçurent, tellement ils étaient attentifs à l'ennemi, que lorsqu'ils furent complétement enveloppés par les flammes. Alors ils se trouvèrent exposés aux derniers dangers, en butte aux traits qui leur étaient lancés d'en haut par la citadelle, dévorés par derrière par la flamme, ne pouvant ni se maintenir en sûreté

τῆς Δαλματίας des éditions antérieures. — 7. Bkk. om. : οἱ Ῥωμαῖοι.
8. Rsk.; vulg., Bkk. et Ddf om. — 9. Rsk.; vulg., Bkk. et Ddf om.
10. C, H : ἐνέβαλλον. — 11. C : διαλάμψῃ, avec des points sous chaque ettre, et, en marge : διαλάθῃ.
12. G, K : αὐτοβοεί. — 13. C : εἰσω.
14. G, K : ἴδον.

διαπεσεῖν ἀκινδύνως δυνάμενοι. Εἴτε γὰρ ἔξω βέλους ἀφίσταντο, πρὸς τοῦ πυρὸς ἀναλοῦντο· εἴτ' ἀπὸ τῆς φλογὸς ἀπεπήδων[1], πρὸς τῶν βαλλόντων ἐφθείροντο· καί τινες ἐν στενοχωρίᾳ ἀπ' ἀμφοτέρων ἅμα ἀπώλοντο, τῇ μὲν τιτρωσκόμενοι, τῇ δὲ καιόμενοι. Οἱ μὲν οὖν πλείους τῶν ἐσελθόντων οὕτως ἀπηλλαξαν· ὀλίγοι δέ τινες νεκροὺς ἐς αὐτὴν τὴν φλόγα ἐμβαλόντες, καὶ δίοδον σφίσι δι' αὐτῶν, καθάπερ ἐπὶ γεφύρας, ποιήσαντες, διέφυγον. Οὕτω γάρ που τὸ πῦρ ἐπεκράτησεν, ὥστε μηδὲ τοὺς ἐν τῇ ἀκροπολει ὄντας κατὰ χώραν μεῖναι, ἀλλὰ τῆς νυκτὸς αὐτὴν ἐκλιπεῖν καὶ ἐς οἰκήματα κατώρυχα[2] κατακρυφθῆναι.

12. Ἐκεῖ μὲν δὴ ταῦτα ἐγένετο[3]· Σερέτιον δὲ, ὅπερ ποτὲ ὁ Τιβέριος πολιορκήσας οὐχ ἡρήκει, ἐχειρώθη, καὶ μετὰ τοῦτο καὶ ἄλλα τινὰ ῥᾴον προσεκτήθη. Τῶν δ' οὖν λοιπῶν καὶ ὡς ἀνταιρόντων, καὶ τοῦ τε πολέμου μηκυνομένου, καὶ λιμοῦ δι' αὐτὸν οὐχ ἥκιστα ἐν τῇ Ἰταλίᾳ γενομένου, τὸν Τιβέριον ὁ Αὔγουστος ἐς τὴν Δελματίαν αὖθις ἔπεμψε[4]. Καὶ ὃς, ἰδὼν τοὺς στρατιώτας μηκέτι τὴν τριβὴν φέροντας, ἀλλὰ καὶ μετὰ κινδύνου διαπολεμῆσαί πως ἐπιθυμοῦντας, καὶ φοβηθεὶς μὴ καὶ καθ' ἓν ὄν-
R.p.816. τες στασιάσωσι, τριχῇ διεῖλεν αὐτούς· καὶ τοὺς μὲν τῷ Σιλουανῷ[5], τοὺς δὲ Μάρκῳ Λεπίδῳ[6] προστάξας, ἐπὶ τὸν

1 C : ἐπεπήδουν.

2. Rsk. : κατωρύχια. — 3. G, I et Ddf : ταῦτ' ἐγένετο. — 4. Tibère (LV, 31) avait été précédemment rappelé par Auguste. — 5. Rm. et St. [de même Bkk. et Ddf], qui néanmoins laissent subsister, dans la liste des consuls, Σιλανός, donné par E et les éditions antérieures. A l'autorité des

dans leurs positions, ni s'échapper sans péril. S'ils se tenaient hors de la portée du trait, ils périssaient par le feu ; s'ils fuyaient la flamme, ils succombaient sous une grêle de traits ; il y en eut aussi qui, dans un défilé, furent victimes à la fois et du feu et de l'ennemi, blessés d'un côté, brûlés de l'autre. Tel fut le sort de la plupart de ceux qui entrèrent dans la place ; quelques-uns, en petit nombre néanmoins, parvinrent à s'échapper en jetant dans les flammes des cadavres sur lesquels ils passèrent comme sur un pont. La violence du feu, en effet, fut si grande, que même ceux qui occupaient la citadelle n'y purent rester et qu'ils l'abandonnèrent, la nuit, pour se cacher dans des souterrains.

12. Voilà ce qui se passa en cet endroit ; mais Sérétium, que Tibère avait autrefois assiégée sans pouvoir la prendre, fut emportée, ce qui facilita la soumission de plusieurs autres places. Du reste, la résistance opiniâtre, la longueur de la guerre et surtout la famine qu'elle fit naître en Italie, déterminèrent Auguste à envoyer une seconde fois Tibère en Dalmatie. Celui-ci voyant les soldats impatientés par les délais et désireux de mettre fin à la guerre, même en courant des dangers, les partagea en trois corps, de peur que, s'ils étaient réunis en un seul, ils ne se laissassent aller à la sédition ; confiant ensuite un de ces corps à Silvanus, un autre à M. Lépi-

An de Rome 763. Cornélius Dolabella et Junius Silvanus consuls.

autres mss. vient se joindre celle de Velléius Paterc. (II, 112), qui donne à ce personnage le titre de consulaire, et l'appelle Silvanus Plautius.

6. Fils du triumvir. Sur cette campagne, cf. Velléius Paterc., II, 114 et 115.

Βάτωνα[1] μετὰ τῶν λοιπῶν σὺν τῷ Γερμανικῷ ὥρμησε. Καὶ ἐκεῖνοι μὲν οὐ χαλεπῶς τοὺς ἀντιταχθέντας σφίσι μάχαις κατεστρέψαντο· αὐτὸς δὲ διὰ πάσης τε, ὡς εἰπεῖν, τῆς χώρας ἀπεπλανήθη, τοῦ Βάτωνος ἄλλῃ καὶ ἄλλῃ περιφοιτῶντος[2], καὶ τέλος καταφυγόντι[3] αὐτῷ ἐς Ἀνδήριον τεῖχος, ἐπ' αὐτῇ τῇ Σαλώνῃ ἐπῳκισμένον, προσεδρεύσας δεινῶς[4] ἐπόνησε. Τό τε γὰρ φρούριον ἐπ' εὐερκοῦς πάνυ καὶ δυσπροσβάτου πέτρας ἐπετετείχιστο, φάραγξι βαθείαις ποταμοὺς χειμάρρους ἐχούσαις ἐγκεκυκλωμένον[5], καὶ οἱ ἄνθρωποι πάντα ἐς αὐτὸ τὰ ἐπιτήδεια, τὰ μὲν προεσεννηνόχεσαν[6], τὰ δὲ καὶ ἐκ τῶν ὀρῶν, ὧν ἐκράτουν, ἐπήγοντο· καὶ προσέτι καὶ τὴν σιτοπομπίαν τῶν Ῥωμαίων ἐνεδρεύοντες ἐκώλυον· ὥστε τὸν Τιβέριον, πολιορκεῖν σφᾶς δοκοῦντα, αὐτὸν τὰ τῶν πολιορκουμένων πάσχειν.

13. Ἀπορουμένου οὖν αὐτοῦ, καὶ μὴ εὑρίσκοντος ὅ τι πράξῃ[7] (ἥ τε γὰρ προσεδρεία καὶ ματαία καὶ ἐπικίνδυνος ἐγίγνετο, καὶ ἡ ἀποχώρησις ἐπαισχὴς ἐφαίνετο), ἐθορύβησαν οἱ στρατιῶται, καὶ τοσαύτῃ γε καὶ τηλικαύτῃ βοῇ ἐχρήσαντο, ὥστε τοὺς πολεμίους, τοὺς ὑπὸ τῷ τείχει αὐλιζομένους, ἐκπλαγῆναί τε καὶ ἀναχωρῆσαι. Ἐξ οὖν τούτων, τοῦ μὲν ὀργισθείς, τοῦ δὲ ἡσθείς, συνεκάλεσέ τε αὐτοὺς, καὶ τὰ μὲν ἐπιτιμήσας σφίσι, τὰ δὲ καὶ παραινέ-

1. C : Κάτων, et, un peu plus loin, Κάτωνος. Cf. LV, 34, notes.
2. E (corrigé par Xld. et les éd. subséq.) : περιφοιντῶτος.
3. G : καταφυγόντα.
4. G, K, Bkk. et Ddf; vulg. om.

dus, il marcha contre Baton avec le troisième corps, accompagné de Germanicus. Silvanus et Lépidus n'eurent pas de peine à dompter leurs adversaires par des combats ; quant à Tibère, il dut courir, pour ainsi dire, tout le pays à la poursuite de Baton, qui se montrait tantôt ici, tantôt là, et qu'il finit par enfermer dans les murs d'Andérium, où il l'assiégea, non sans de grosses pertes. La place, en effet, était assise sur un rocher bien fortifié et de difficile accès, couverte par des fossés profonds où des fleuves roulaient en torrents ; tout ce qui était nécessaire y avait été, partie apporté à l'avance, partie descendu des montagnes, dont l'ennemi était le maître ; bien plus, au moyen d'embuscades, ils interceptaient les convois des Romains, en sorte que Tibère, qui semblait l'assiégeant, éprouvait, en réalité, tous les maux des assiégés.

13. Il se trouvait dans cet embarras et ne savait que résoudre (le siége n'amenait pas de résultats et le mettait en danger ; d'un autre côté, la retraite lui paraissait une honte), lorsque la sédition éclata parmi les soldats, qui poussèrent des cris si grands et si confus que les ennemis campés au pied des remparts en furent effrayés et se retirèrent. Profitant de cette circonstance, Tibère, moitié colère, moitié joie, convoqua ses soldats, et entremêlant les réprimandes et les exhortations, sans rien

5. G : ἐγκεκλωμένον.

6. Rm., St., Bekk. et Ddf, au lieu de προσενηνόχεσαν, qui se lit dans F et dans les éditions antérieures.

7. G, H, K, St., Bkk. et Dd ; vulg. : πράξοι.

σας [1], οὔτε ἐθρασύνατο, οὔτ' ἀπανέστη, ἀλλὰ κατὰ χώραν ἡσυχάζων ἔμεινε, μέχρις οὗ ὁ Βάτων [2], ἀπογνοὺς τὴν ἐπικράτησιν (τά τε γὰρ ἄλλα πλὴν ὀλίγων [3] ἐκεχείρωτο, καὶ ἡ δύναμις, ἣν εἶχε, τῆς τότε ἀντιθεστηκυίας [4] οἱ ἥλαττοῦτο), διεκηρυκεύσατο πρὸς αὐτόν· καὶ ἐπειδὴ μὴ ἔπεισε καὶ τοὺς ἄλλους σπείσασθαι, ἐγκατέλιπεν αὐτούς. Καὶ ὁ μὲν οὐκέτ' οὐδ' ἄλλῳ τινὶ, καίπερ πολλῶν αὐτὸν [5] ἐπικαλουμένων, ἐβοήθησεν· ὁ δὲ δὴ Τιβέριος, καταφρονήσας ἐκ τούτου τῶν λοιπῶν τῶν ἐν τῷ τείχει ὄντων, καὶ νομίσας [6] ἀναιμωτὶ σφῶν κρατήσειν, οὐδὲν ἔτι [7] τοῦ χωρίου προείδετο [8], ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ ἐρυμνὸν ἐχώρησεν. Ἐπεὶ δὲ μήτε ὁμαλόν τι ἦν, μήτε ἐπικατέβαινον οἱ πολέμιοι, αὐτὸς [9] μὲν ἐπὶ βήματος ἐν περιφανεῖ ἱδρύθη, ὅπως τά τε γιγνόμενα καθορᾷη [10], πρὸς τὸ προθυμότερον τοὺς στρατιώτας ἀγωνίσασθαι, καὶ ἐν καιρῷ σφίσιν, ἄν που δεήσῃ, προσαμύναι [11]. Καὶ γὰρ μέρος ἐπ' αὐτὸ τοῦτο τοῦ στρατοῦ, πολὺ γὰρ τῷ πλήθει περιῆν, κατέσχεν· οἱ δ' ἄλλοι [12], τὸ μὲν πρῶτον ἐν πλαισίῳ πυκνῷ συντεταγμένοι, βάδην ἀνε-

1. Xld., que Rm. et St. semblent approuver, croit que ce mot tient la place d'un verbe dont le son serait le même et la signification différente, attendu qu'on ne voit pas pourquoi Tibère aurait donné des éloges à ses soldats mutinés. Mais, dans la position où se trouve Tibère, il a besoin de ménager ses soldats; qu'y a-t-il de surprenant qu'il entremêle le blâme et l'éloge? Si ce n'est pas assez, traduisons ce mot par *adhortans*, au lieu de le traduire par *laudans*, comme Xld., et toute la difficulté disparaîtra.

2. C : Κάτων. — 3. A partir de πλὴν ὀλίγων, G est, jusqu'à la fin, écrit d'une autre main. — 4. G, H, K, St., Bkk. et Ddf; vulg. : ἀνθεστηκυίας; Rsk. : συνκαθεστηκυίας, « *quæ olim*, in superiore bello, *cum ipso* Romanis *restiterant*, » attendu que, selon ui, oi semble se rap-

hasarder par audace, mais sans reculer, se contenta de garder tranquillement ses positions, jusqu'au moment où Baton, désespérant de la victoire (tout était soumis à peu d'exceptions près, et il avait une armée inférieure en nombre à celle qui lui était alors opposée), envoya demander la paix, et, n'ayant pu décider les siens à traiter aussi, les abandonna. Il n'alla plus désormais au secours de personne, bien qu'il fût appelé par beaucoup de peuplades; et Tibère, par suite de cela, plein de mépris pour les troupes restées dans l'intérieur des remparts, persuadé qu'il en viendrait à bout sans répandre de sang, ne s'inquiéta plus de la place et marcha sur la forteresse même. Comme il n'y avait pas de plaine en cet endroit, et que les ennemis ne descendaient pas, il se plaça sur une tribune dans un lieu où il était en vue, afin d'examiner ce qui se passait, d'augmenter l'ardeur de ses troupes et d'être à portée d'aller à leur secours en cas de besoin. Dans cette intention, il garda près de lui, ayant la supériorité numérique, une partie de son armée, tandis que le reste, à pas comptés, s'avança

porter à Baton et non à Tibère. — 5. G : αὐτῶν. — 6. H : νομήσας. 7. G : ἐπί. — 8. Lncl., condamné par Rm. : προείλετο. — 9. Vulg. : πολέμιοι, καὶ αὐτός. Lncl., le premier, a signalé l'inutilité du καί; Bkk. et Ddf l'ont supprimé; St. le met entre crochets. — 10. Rsk.croit que, devant πρός, ont été oubliés les mots καὶ προτρέπηται, ou que, tout au moins, on peut lire ainsi le passage : καθορῶν, καὶ πρὸς τὸ. . . ἀγωνίσασθαι προτρέπηται, καὶ ἐν καιρῷ. — 11. Bkk., d'après la version latine : *quo alacrius milites pugnam cierent, ac ipse subveniret*; vulg. et Ddf : προσαμύνῃ; de plus, Bkk. (Ddf adopte une ponctuation analogue) ouvre immédiatement après ce mot, pour ne la fermer qu'après κατέσχεν, la parenthèse que la vulgate ouvre après στρατοῦ et ferme après πεζιήν. 12. C, G, H, I, K, Bkk. et Ddf; vulg. : κατέσχε· οἱ δ' ἄλλοι.

πορεύοντο, ἔπειτα δ' ὑπό τε τοῦ ὀρθίου καὶ ὑπὸ τῆς ἀνω-
B.p.817. μαλίας τοῦ ὄρους (χαραδρῶδές τε γὰρ ἦν, καὶ ἐς φάραγγας πολλαχῇ κατετέτμητο [1]) διεσπάσθησαν, καὶ οἱ μὲν θᾶσσον, οἱ δὲ βραδύτερον προσανῄεσαν.

14. Ἰδόντες δὲ [2] τοῦτο οἱ Δελμάται, ἔξω τε τοῦ τείχους ὑπὲρ αὐτοῦ τοῦ κρημνώδους παρετάξαντο, καὶ λίθους πολλοὺς, τοὺς μὲν σφενδόναις ἐπ' αὐτοὺς ἔβαλλον, τοὺς δὲ καὶ κατεκυλίνδουν. Ἄλλοι τροχοὺς, ἄλλοι ἁμάξας ὅλας πλήρεις πετρῶν, ἄλλοι κιβωτοὺς περιφερεῖς, ἐπιχωρίως πως πεποιημένας, καὶ λίθων γεμούσας, ἠφίεσαν. Καὶ ταῦτά τε [3] πάντα ἅμα πολλῇ ῥύμῃ καταφερόμενα διεσφενδονᾶτο, καὶ τοὺς Ῥωμαίους διέσπα τε ἔτι μᾶλλον [4] ἀπ' ἀλλήλων, καὶ ἀνήλου [5]· καὶ ἕτεροι, οἱ μὲν βέλη, οἱ δὲ δοράτια ἀφιέντες, συχνοὺς αὐτῶν [6] κατέβαλλον. Κἀν τούτῳ πολλὴ μὲν τῶν μαχομένων φιλοτιμία ἐγίγνετο, τῶν μὲν ἀναβῆναί τε καὶ ἐπικρατῆσαι τῶν ἄκρων [7], τῶν δὲ ἀποκρούσασθαί τε αὐτοὺς καὶ ἀπορράξαι [8] πειρωμένων· πολλὴ δὲ καὶ τῶν ἄλλων, τῶν τε ἀπὸ τοῦ τείχους ὁρώντων τὰ γιγνόμενα, καὶ τῶν περὶ τὸν Τιβέριον ὄντων. Τοῖς τε γὰρ σφετέροις ἑκάτεροι παρεκελεύοντο, τοὺς μὲν προθυμουμένους σφῶν ἐπιῤῥωννύντες, τοῖς δ' ὑπείκουσί πῃ ἐπιτιμῶντες, καὶ ἀθρόοι καὶ καθ' ἑκάστους· καὶ ὅσοι ὑπὲρ τοὺς ἄλλους

1. Xld. et les éd. subséq.; E, G : κατέτμητο.
2. Rsk. : δή.
3. Bkk. et Ddf; vulg. : γε. — 4. K et Ddf : ἔτι καὶ μᾶλλον.
5. Rsk., comme conjecture : συνηλοία, *contundebant*, de συναλοιᾶν,

d'abord en carrés, puis la raideur et l'inégalité de la montagne (le terrain était, en plusieurs endroits, rempli de ravins et coupé de précipices) les obligèrent à se diviser, et ils parvinrent au sommet, les uns plus tôt, les autres plus tard.

14. A cette vue, les Dalmates se rangèrent en bataille en dehors de leurs murailles, sur l'escarpement même de la montagne, et lancèrent avec des frondes ou firent rouler une grêle de pierres sur les Romains. Les uns envoyaient sur eux des roues, d'autres des chariots tout entiers remplis de fragments de rocs, d'autres des coffres ronds construits à la façon de leur pays et chargés de pierres. Tous ces projectiles, qui volaient emportés par une forte impulsion, multipliaient bien plus encore les brèches dans les rangs des Romains et les écrasaient, tandis qu'une partie des Dalmates en renversait un grand nombre à coups de flèches et de javelots. Les combattants, dans cette lutte, rivalisaient d'ardeur pour tâcher, les uns de gravir les sommets de la montagne et de s'en emparer, les autres pour repousser et pour culbuter leurs adversaires ; il y avait également rivalité d'ardeur entre les soldats qui, du haut du mur, étaient témoins de ces efforts, et ceux qui entouraient Tibère. De part et d'autre, on exhortait les siens, les encourageant quand ils avançaient, les réprimandant quand ils reculaient, et cela, tous ensemble et chacun en particulier : ceux qui surpassaient leurs compagnons par l'éclat

Bkk., en note : « Συνηλοία? an ἀνήλου? » J'ai cru devoir adopter cette dernière conjecture. Vulg. et Ddf : συνήλου — 6. G : αὐτούς.

7. K : ἐπικρατῆσαι τῆς τῶν ἄκρων.

8. Rsk. : καταῤῥάξαι.

ἐγεγώνισκον, καὶ τοὺς θεοὺς ἅμα ἀνεκάλουν, ὑπὲρ τε τῆς αὐτίκα τῶν μαχομένων ἀμφότεροι σωτηρίας, καὶ ὑπὲρ τῆς ἑαυτῶν ἐς τὸ ἔπειτα οἱ μὲν ἐλευθερίας, οἱ δὲ εἰρήνης, ἐπιβοώμενοι. Κἂν παντελῶς οἱ Ῥωμαῖοι μάτην ἐκινδύνευσαν[1], ἅτε πρὸς δύο ἅμα, τήν τε τῶν τόπων φύσιν, καὶ τὴν τῶν ἀντιπάλων ἀντίταξιν, τὸν ἀγῶνα ποιούμενοι· εἰ μὴ ὁ Τιβέριος ἐκείνους[2] τε ἀκραιφνέσι βοηθείαις φυγεῖν ἐκώλυσε, καὶ τοὺς πολεμίους ἑτέρωθεν ἄλλοις στρατιώταις, ἐς τὸ ἄναντες τοῦ χωρίου ἐκ πλείονος περιελθοῦσιν[3], ἐτάραξε[4]. Κἀκ τούτου οἱ μὲν, τραπέντες, οὐδὲ ἐς τὸ τεῖχος ἐσελθεῖν ἠδυνήθησαν, ἀλλὰ ἀνὰ τὰ ὄρη, προαποῤῥίψαντες τὰ ὅπλα, ὥστε κουφίζειν, ἐσκεδάσθησαν· οἱ δὲ, ἐπιδιώκοντες σφᾶς (πάνυ τε[5] γὰρ διαπολεμῆσαι ἐγλίχοντο, καὶ οὐκ ἐβούλοντο συστραφέντας αὖθις αὐτοὺς χαλεποὺς σφίσι γενέσθαι), ἐπίπαν ἐπεξῆλθον, καὶ ἐκείνων τε τοὺς πλείους ἐν ταῖς ὕλαις κρυπτομένους ἀνευρόντες, ὥσπερ θηρία, ἀπέκτειναν, καὶ μετὰ τοῦτο καὶ τοὺς ἐν τῷ φρουρίῳ προσχωρήσαντας ἔλαβον. Καὶ τούτοις μὲν ὁ Τιβέριος τά τε ἄλλα, καὶ δὴ καὶ τὰ ὁμολογηθέντα σφίσι καθίστατο[6].

15. Γερμανικὸς δὲ ἐπὶ τοὺς ἀνθεστηκότας ἐτράπετο[7]· αὐτόμολοι[8] γὰρ παρ' αὐτοῖς συχνοὶ ὄντες οὐκ εἴων σφᾶς

1. Vulg. : Κἂν τούτῳ παντελῶς οἱ Ῥωμαῖοι μάτην ἐκινδύνευσαν; Rsk., après ce dernier mot, veut ajouter ἄν, que Bkk. place entre παντελῶς et οἱ. Mais St., s'appuyant d'exemples tirés de Dion lui-même et de l'autorité de mss., change (G) Κἂν en Κἄν, et supprime (C, G) τούτῳ, ce qui dispense d'ajouter ἄν. J'ai suivi l'opinion de St., qui est aussi celle de Ddf. — 2. H : ἐκεῖνος; C : ἐκεῖνος ἐκείνους.

de leur voix invoquaient, des deux côtés, les dieux à grands cris d'abord pour le salut même des combattants, puis pour jouir à l'avenir, ceux-ci de la liberté, ceux-là de la paix. C'eût été bien en vain que les Romains eussent subi tous ces dangers (ils avaient à lutter contre deux obstacles à la fois, la nature des lieux et la résistance de l'ennemi), si Tibère ne les eût empêchés de fuir par des secours réitérés et n'eût frappé les ennemis de terreur en faisant tourner les hauteurs par d'autres soldats qui s'en emparèrent. A la suite de cet échec, les Dalmates en déroute ne purent retourner dans leurs remparts et se dispersèrent dans les montagnes, en jetant leurs armes afin d'être plus lestes, tandis que les Romains, qui désiraient vivement terminer la guerre et ne voulaient pas laisser l'ennemi se rallier pour leur causer plus tard des embarras, se répandirent de tous côtés à leur poursuite, et, traquant la plupart d'entre eux dans les forêts où ils étaient cachés, les tuèrent comme des bêtes fauves, et reçurent ensuite à composition ceux qui étaient dans la place. Tibère leur régla, entre autres choses, toutes les conditions stipulées.

15. Germanicus tourna ensuite ses efforts contre ceux des ennemis qui avaient encore les armes à la main; car des transfuges, en grand nombre parmi eux, les

3. G : περιελεοῦσιν. — 4. Ce passage se lit ainsi dans K : ἑτέρων ἡωῆς ἀνίτητον ἐς τὸ χωρίον ἐκ πλείονος περιελθοῦσιν ἣν περιεπέμψει ἑτάραξε. Ddf a reproduit cette leçon, tout en reconnaissant (t. I, Préface, p. XVII) qu'elle est corrompue.

5. G om. — 6. Passage assez obscur; peut-être lacune. — 7. K : ἐτετράπετο. — 8. G : αὐτόμηλοι.

συμβῆναι. Καὶ ἐδουλώσατο μὲν χωρίον τι Ἄρδουβαν· οὐ μέντοι καὶ τῇ οἰκείᾳ δυνάμει, καίτοι πολλῇ[1] πλείονι τῶν ἐναντίων οὔσῃ, ἠδυνήθη τοῦτο ποιῆσαι· αὐτό τε[2] γὰρ
R.p.818. ἰσχυρῶς ὠχύρωτο, καὶ ποταμὸς ῥοώδης τοὺς πρόποδας αὐτοῦ κύκλῳ, πλὴν βραχέος, περιῤῥεῖ[3]· ἀλλ' οἱ αὐτόμολοι στασιάσαντες πρὸς τοὺς ἐπιχωρίους, ἐπειδὴ τῶν σπονδῶν ὠρέγοντο, ἐς χεῖρας αὐτοῖς ἦλθον· καὶ συλλαβομένων σφίσι τῶν γυναικῶν τῶν ἐν τῷ τείχει οὐσῶν (τῆς τε γὰρ ἐλευθερίας καὶ παρὰ τὴν τῶν ἀνδρῶν γνώμην ἐφίεντο, καὶ πᾶν ὁτιοῦν[4] πρὸ τοῦ δουλεῦσαι· παθεῖν ἠροῦντο), μάχη τε ἰσχυρὰ ἐγένετο· καὶ κρατηθέντες, αὐτοὶ μὲν ἐνέδοσαν, καί τινες αὐτῶν καὶ διέφυγον· αἱ δὲ δὴ γυναῖκες τὰ παιδία ἁρπάσασαι, αἱ μὲν ἐς πῦρ[5] ἑαυτὰς ἐνέβαλον, αἱ δὲ ἐς ποταμὸν κατεκρήμνισαν[6]. Καὶ οὕτω καὶ ἐκείνου τοῦ φρουρίου ἁλόντος, καὶ τὰ ἄλλα[7] τὰ πλησία αὐτῷ[8] ἐθελοντὶ τῷ Γερμανικῷ ὡμολόγησε. Καὶ ὁ μέν, ταῦτα πράξας, πρὸς τὸν Τιβέριον ἀνεχώρησεν· ὁ δὲ δὴ Ποστούμιος[9] τὰ λοιπὰ προσκατειργάσατο.

16. Κἀν τούτῳ καὶ ὁ Βάτων, Σκευᾶν τὸν υἱὸν πρὸς Τιβέριον πέμψας, παραδώσειν οἱ καὶ ἑαυτὸν καὶ τοὺς σὺν αὐτῷ[10] πάντας ὑπέσχετο, ἂν τῆς ἀδείας τύχῃ. Καὶ μετὰ τοῦτο πίστιν λαβὼν, νυκτός τε ἐς τὸ στρατόπεδον

1. Rsk. et Bkk. : πολλῷ, auquel St. préférerait πολύ, qu'adopte Ddf; mais les exemples rassemblés par Schæfer (Ellipses grecques de Boss, 274) autorisant l'emploi de πολλῇ, j'ai cru ne devoir rien changer.
2. G : γε. — 3. Rsk., approuvé par St. : περίεῤῥει.
4. H : πάνθ' ὁτιοῦν. — 5. G, K, Bkk. et Ddf; vulg. : ἐς τὸ πῦρ.

empêchaient de traiter. Il s'empara de la place d'Arduba, mais il ne put toutefois le faire avec ses propres troupes, bien qu'elles fussent de beaucoup supérieures en nombre à celles de l'ennemi. La place, en effet, était très-forte, et tout le canton, excepté un faible espace, était enveloppé par un fleuve rapide coulant au pied des remparts, et les transfuges, révoltés contre les habitants du pays, qui désiraient traiter, en vinrent aux mains avec eux; aidés par les femmes qui, à l'intérieur des murailles, malgré le sentiment de leurs maris, brûlaient de l'amour de la liberté et préféraient souffrir tout plutôt que l'esclavage, ils livrèrent un combat acharné; vaincus, ils finirent par céder, quelques-uns même d'entre eux prirent la fuite. Quant aux femmes, saisissant leurs enfants, les unes se jetèrent dans le feu, les autres se précipitèrent dans le fleuve. Arduba ainsi prise, les autres places voisines se rendirent d'elles-mêmes à Germanicus. Germanicus, après ces exploits, retourna auprès de Tibère, et ce fut Postumius qui acheva de soumettre le pays.

16. Pendant ce temps, Baton envoya à Tibère son fils Scéva pour offrir sa soumission et celle de ses gens, si on lui accordait l'impunité. Quand il en eut reçu l'assurance, il se rendit, la nuit, au camp de Tibère, et, le len-

6. C : κατεκρίμνησαν; G : κατεκρέμνισαν. — 7. H : τἆλλα.

8. G : αὐτῶν.

9. Vibius Postumius, personnage consulaire. Cf. Velléius Paterc., II, 116, et Florus, IV, 12, 11. — 10. K, Bkk. et Ddf; vulg. : τοὺς μετ' αὐτοῦ.

αὐτοῦ ἐσῆλθε, καὶ τῇ ὑστεραίᾳ ἐπὶ βήματος αὐτῷ[1] καθημένῳ προσαχθεὶς[2], ὑπὲρ μὲν ἑαυτοῦ οὐδὲν ἐδεήθη, ἀλλὰ καὶ τὴν κεφαλὴν προέτεινεν[3] ὥστ' ἀποκοπῆναι· ὑπὲρ δὲ τῶν ἄλλων πολλὰ ἀπελογήσατο. Καὶ τέλος[4] ἐρωτηθεὶς ὑπὸ τοῦ Τιβερίου, « Τί ὑμῖν ἔδοξε καὶ ἀποστῆναι, καὶ ἐπὶ τοσοῦτον ὑμῖν χρόνον ἀντιπολεμῆσαι; » ἔφη, ὅτι[5] « Ὑμεῖς τούτων αἴτιοί ἐστε· ἐπὶ γὰρ τὰς ἀγέλας ὑμῶν[6] φύλακας οὐ κύνας οὐδὲ νομέας, ἀλλὰ λύκους, πέμπετε. » Ὁ μὲν οὖν πόλεμος τοῦτο[7] τὸ τέλος ἔσχε, πολλῶν μὲν καὶ ἀνδρῶν, πλείστων δὲ δὴ καὶ χρημάτων ἀπολομένων· πάμπολλά τε[8] γὰρ ἐς αὐτὸν στρατόπεδα ἐτράφη[9], καὶ λεία ἐλαχίστη ἐάλω.

17. Ἀνήγγειλε δὲ καὶ τότε τὴν νίκην ὁ Γερμανικὸς, καὶ ἐπ' αὐτῇ τῷ μὲν Αὐγούστῳ καὶ τῷ Τιβερίῳ τό τε τοῦ αὐτοκράτορος ὄνομα προσθέσθαι[10], καὶ τὸ τὰ ἐπινίκια πέμψαι, ἄλλαι τέ τινες τιμαὶ, καὶ ἀψῖδες[11] ἐν τῇ Παννονίᾳ τροπαιοφόροι δύο ἐδόθησαν (ταῦτα γὰρ ἀπὸ πολλῶν τῶν ψηφισθέντων σφίσιν ὁ Αὔγουστος ἐδέξατο)· τῷ δὲ δὴ Γερμανικῷ αἵ τε νικητήριοι[12] τιμαὶ, ὅπερ. που καὶ τοῖς ἄλ-

1. C : αὐτῶν. — 2. Lncl., conjecture confirmée par K, St., Bkk. et Ddf; vulg. : προαχθείς. — 3. E, G : προσέτεινεν. — 4. K et Ddf; vulg.: Καὶ πάλιν δ' ἐρωτηθείς. Cf. LV, 34, notes. — 5. K et Ddf; vulg. et Bkk. : τοῦτ' ἔφη, ὅπερ καὶ πρότερον, ὅτι. — 6. C : ἡμῶν. — 7. K, Bkk. et Ddf; vulg. : πόλεμος αὖθις τοῦτο, où Rsk. veut substituer οὗτος à αὖθις.

8. C om. — 9. Suétone (Tibère, 16) : « Nuntiata Illyrici defectione, transiit [Tiberius] ad curam novi belli : quod gravissimum omnium externorum bellorum post Punica, per quindecim legiones, paremque auxiliorum copiam, triennio gessit, in magnis omnium rerum difficultatibus, summaque frugum inopia. » — 10. C'était la vingtième fois pour Auguste,

demain, amené devant le prince qui était assis sur son tribunal, au lieu de lui demander aucune grâce pour lui-même, il présenta sa propre tête à couper ; mais il s'étendit sur la justification de ses compagnons. A la fin, Tibère lui ayant demandé : « Quel motif vous a poussés à vous révolter et à nous faire si longtemps la guerre ? » il répondit : « C'est vous qui en êtes la cause ; vous envoyez, pour garder vos troupeaux, non des chiens et des bergers, mais des loups. » Ainsi se termina la guerre, avec une grande perte d'hommes et d'argent : on avait entretenu de nombreuses légions et ramassé peu de butin.

17. Germanicus vint encore alors apporter la nouvelle de cette victoire, et, à cette occasion, on décerna le nom d'*imperator* à Auguste et à Tibère, le triomphe et, entre autres honneurs, des arcs de triomphe en Pannonie (ce furent là, parmi les nombreuses distinctions décrétées, les seules qu'Auguste accepta) ; on accorda à Germanicus les ornements du triomphe, ce qui eut lieu éga-

et la quatrième pour Tibère. Cf. LV, 28. — 11. H : ἀψήδες (*sic*). C'est ainsi qu'au témoignage de Suétone (Claude, 1) et de Dion lui-même (LV, 2), le sénat avait décrété en l'honneur de Drusus l'érection d'un arc de triomphe en marbre, avec des trophées sur la voie Appienne. Un des arcs dont il est question dans ce passage existe encore en partie, dit Fabricius, à Carnute, dans la Pannonie, à l'endroit où est le village de Sainte-Pétronille, dans la haute Autriche.

12. G : νικητήριαι. Il s'agit des ornements du triomphe, qu'Auguste, au rapport de Suétone (Aug., 33) et de Dion lui-même, en maint endroit (notamment, LIV, 24), accorda à plusieurs généraux,

R.p.819. λοις στρατιάρχαις ὑπῆρξε, καὶ αἱ στρατηγικαὶ [1], τό τε τὴν γνώμην πρώτῳ μετὰ τοὺς ὑπατευκότας ἀποφαίνεσθαι [2], καὶ τὸ τὴν ὑπατείαν θᾶσσον παρὰ τὸ νενομισμένον λαβεῖν [3]. Καὶ τῷ Δρούσῳ δὲ, τῷ τοῦ [4] Τιβερίου υἱεῖ, καίτοι μὴ μετασχόντι τοῦ πολέμου, καὶ ἐς τὸ συνέδριον συμφοιτᾶν, πρὶν βουλεῦσαι [5], καὶ ἐπειδὰν ταμιεύσῃ, γνώμην πρὸ τῶν ἐστρατηγηκότων ποιεῖσθαι, ἐψηφίσθη.

18. Ἄρτι τε [6] ταῦτα ἐδέδοκτο, καὶ ἀγγελία δεινὴ ἐκ τῆς Γερμανίας ἐλθοῦσα ἐκώλυσε σφᾶς διεορτάσαι. Ἐν γὰρ τῷ αὐτῷ ἐκείνῳ [7] χρόνῳ, καὶ ἐν τῇ Κελτικῇ τάδε συνηνέχθη. Εἶχόν τινα οἱ Ῥωμαῖοι αὐτῆς, οὐκ ἀθρόα, ἀλλ' ὡς που καὶ ἔτυχε χειρωθέντα (διὸ οὐδὲ ἐς ἱστορίας μνήμην ἀφίκετο)· καὶ στρατιῶταί τε αὐτῶν ἐκεῖ ἐχείμαζον, καὶ πόλεις συνῳκίζοντο [8], ἔς τε τὸν κόσμον σφῶν οἱ βάρβαροι μετερρυθμίζοντο [9], καὶ ἀγορὰς [10] ἐνόμιζον, συνόδους τε εἰρηνικὰς ἐποιοῦντο. Οὐ μέντοι καὶ τῶν πατρίων ἐθῶν [11], τῶν τε συμφύτων τρόπων, καὶ τῆς αὐτονόμου διαί-

1. C'est ainsi que Tibère avait eu les ornements de la préture (LVI, 10 et 19) avant d'avoir été préteur, comme Drusus (LIV, 23 et 33) et Marcellus (LIII, 28) auparavant. — 2. Les consulaires donnaient leur avis les premiers; après eux, on consultait les citoyens ayant passé par la préture, puis ceux qui avaient été édiles.

3. Sous la république, il fallait avoir quarante-trois ans accomplis pour pouvoir légalement demander le consulat. Mais, lorsqu'Octave eut obtenu cette dignité à un âge où, malgré quelques dérogations à la loi, personne ne l'avait encore obtenue, lorsqu'il fut devenu Auguste, il en affranchit les autres à son tour : Marcellus et Tibère d'abord (LIII, 28), puis Drusus (LIV, 19). Au ch. 26 de ce livre, Dion parle du consulat de Germanicus; au 28, de celui de Drusus, dont la questure a été mentionnée au ch. 25. — 4. K, Bkk. et Ddf; vulg. om.

lement pour les autres généraux, et ceux de la préture, avec le privilége d'exprimer son avis le premier après les consulaires, d'être nommé consul avant l'âge légal. Drusus, fils de Tibère, bien que n'ayant pris aucune part à la guerre, eut le droit de venir au sénat avant d'être admis dans l'ordre sénatorial, et, après qu'il aurait été questeur, le droit de donner son avis avant les anciens préteurs.

18. On venait de rendre ces sénatus-consultes, lorsqu'une nouvelle terrible, venue de la Germanie, empêcha la célébration des fêtes. Voici, en effet, ce qui s'était passé pendant ce temps-là dans la Celtique. Les Romains y possédaient quelques régions, non pas réunies, mais éparses selon le hasard de la conquête (c'est pour cette raison qu'il n'en est pas parlé dans l'histoire); des soldats y avaient leurs quartiers d'hiver, et y formaient des colonies; les barbares avaient pris leurs usages, ils avaient des marchés réguliers et se mêlaient à eux dans des assemblées pacifiques. Ils n'avaient néanmoins perdu ni les habitudes de leur patrie, ni les mœurs qu'ils tenaient de la nature, ni le régime de la

5. Faveur accordée précédemment à Caius et à Lucius César (LV, 9). Anciennement, les fils des sénateurs étaient amenés par leurs parents aux séances du sénat. Les témoignages des auteurs anciens abondent à ce sujet. Je me contente de renvoyer au trait de Papirius, raconté par Aulu-Gelle, I, 23.

6. K, St., Bkk. et Ddf; vulg. : δέ. Sur le fait historique, cf. Velléius Paterc., II, 117.

7. Rsk., blâmé par St. : ἰκεῖνα, ce qui se passe en Dalmatie, opposé à τάδε, ce qui se passe en Germanie. — 8. I, K, Bkk. et Ddf; vulg. : ὠκίζοντο. — 9. I, K : μεταρυθμίζοντο; C, G : μεταριθμίζοντο; H : μεταριθμάζοντο.

10. Bkk., en note, comme conjecture : ἀγοραῖς.

11. K, d'une autre main, et G : ἔθνων (*sic*).

της, τῆς [1] τε ἐκ τῶν ὅπλων ἐξουσίας, ἐκλελησμένοι ἦσαν. Καὶ διὰ τοῦτο, τέως [2] μὲν κατὰ βραχὺ καὶ ὁδῷ τινὶ μετὰ φυλακῆς μετεμάνθανον αὐτὰ [3], οὔτε ἐβαρύνοντο τῇ τοῦ βίου μεταβολῇ, καὶ ἐλάνθανον σφᾶς ἀλλοιούμενοι· ἐπεὶ δὲ ὁ Οὔαρος [4] ὁ Κυϊντίλιος [5], τήν τε ἡγεμονίαν τῆς Γερμανίας λαβὼν, καὶ τὰ παρ' ἐκείνοις [6] ἐκ τῆς ἀρχῆς διοικῶν [7], ἔσπευσεν αὐτοὺς ἀθρωότερον μεταστῆσαι [8], καὶ τά τε ἄλλα ὡς καὶ δουλεύουσι σφίσιν ἐπέταττε [9], καὶ χρήματα ὡς καὶ παρ' ὑπηκόων ἐσέπρασσεν [10], οὐκ ἠνέσχοντο [11]. Ἀλλ' οἵ τε πρῶτοι, τῆς πρόσθεν δυναστείας ἐφιέμενοι, καὶ τὰ πλήθη τὴν συνήθη κατάστασιν πρὸ τῆς ἀλλοφύλου δεσποτείας προτιμῶντες, ἐκ μὲν τοῦ φανεροῦ οὐκ ἀπέστησαν, πολλοὺς μὲν πρὸς τῷ Ῥήνῳ, πολλοὺς δὲ καὶ ἐν τῇ σφετέρᾳ τῶν Ῥωμαίων ὁρῶντες ὄντας· δεξάμενοι δὲ τὸν Οὔαρον, ὡς καὶ πάντα τὰ προστασσόμενα σφίσι ποιήσοντες [12], προήγαγον αὐτὸν πόῤῥω ἀπὸ [13] τοῦ Ῥήνου, ἔς τε τὴν Χερουσκίδα καὶ πρὸς τὸν Οὐίσουργον [14]· κἀνταῦθα εἰρηνικώτατα [15] καὶ φιλι-

1. C om.
2. Xiph., approuvé par Lncl. : ἕως.
3. H : αὐτάς.
4. H : δ' ὁ Οὔαρος.
5. G : ὁ Κυϊντίλεος ; H : ὁ Κυϊντύλιον (sic) Xld. et les éd. subséq. insèrent ici, d'après Xph. : μετὰ τὴν τῶν Σύρων ἀρχήν. Ddf les omet avec les mss. de Dion et Léonicène. Les notes de M. Gros ne signalent pas cette omission dans H. Faut-il en conclure que ces mots sont dans le mss., ou bien est-ce un oubli, une erreur de sa part ?
6. C : περὶ ἐκείνοις. — 7. Rsk., dans l'*Apparius* de Rm., déclare ne pas comprendre ce que signifient les mots ἐκ τῆς ἀρχῆς, et propose, comme simple conjecture, dit-il : ἐκ τῆς συμφύτου οἱ ἀγερωχίας. Mais,

liberté, ni la puissance que donnent les armes. Aussi, tant qu'ils désapprirent tout cela petit à petit et, pour ainsi dire, en suivant la route avec précaution, ce changement de vie ne leur était pas pénible et ils ne s'apercevaient pas de cette transformation; mais, lorsque Quintilius Varus, venant avec l'*imperium* prendre le gouvernement de la Germanie et administrer le pays, se hâta de faire des réformes trop nombreuses à la fois, qu'il leur commanda comme à des esclaves, et qu'il leva des contributions comme chez un peuple soumis, les Germains ne le supportèrent pas. Cependant, bien que les principaux chefs regrettassent leur puissance d'auparavant et que le peuple préférât son état habituel à la domination étrangère, ils ne se révoltèrnt pas ouvertement, parce qu'ils voyaient les Romains en grand nombre, tant sur les bords du Rhin que dans leur propre pays : accueillant Varus, comme s'ils étaient décidés à exécuter tous ses ordres, ils l'attirèrent, loin du Rhin, dans le pays des Chérusques, près du Veser; là, par des manières toutes pacifiques et par les procédés

dans la note 60* de l'édition de St., note portant la signature de Rsk., on lit : « Ἐκ τῆς ἀρχῆς. *Est ex jure commissæ sibi potestatis pro auctoritate imperii.* » — 8. I et K : μεταστῆναι. La vulgate est confirmée par Zn.

9. H : ἐπέκτατε.

10. K, Xph., Bkk. et Ddf; vulg. et Zn : ἔπρασσεν.

11. C : ἠνέσχετο.

12. C : ποιήσαντες.

13. K et Ddf; vulg. et Bkk. : πόρρω ἀπό.

14. Correction de Xld., adoptée par les éd. subséq.; E : Οὐσίσουογον; C : Οὐσίσογγρον; H, I : Οὐσίσουργον; G : Οὐσίσοργον. — 15. Ddf; vulg. et Bkk. : ἐνταῦθ' εἰρηνικώτατα (*sic*).

R.p.820. κότατα[1] διαγαγόντες, πίστιν αὐτῷ παρέσχον ὡς καὶ ἄνευ στρατιωτῶν δουλεύειν δυνάμενοι.

19. Οὔτ' οὖν τὰ στρατεύματα, ὥσπερ εἰκὸς ἦν ἐν πολεμίᾳ, συνεῖχε, καὶ ἀπ' αὐτῶν συχνοὺς αἰτοῦσι τοῖς ἀδυ.νάτοις, ὡς καὶ ἐπὶ φυλακῇ χωρίων τινῶν, ἢ καὶ ληστῶν συλλήψεσι, παραπομπαῖς τέ τισι τῶν ἐπιτηδείων, διέδωκεν. Ἦσαν[2] δὲ οἱ μάλιστα συνομόσαντες[3], καὶ ἀρχηγοὶ τῆς τε[4] ἐπιβουλῆς καὶ τοῦ πολέμου γενόμενοι, ἄλλοι τε, καὶ Ἀρμίνιος[5] καὶ Σηγίμερος[6], συνόντες τε αὐτῷ ἀεὶ, καὶ συνεστιώμενοι πολλάκις. Θαρσοῦντος οὖν αὐτοῦ, καὶ μήτε τι δεινὸν προσδεχομένου, καὶ πᾶσι τοῖς τό τε γιγνόμενον[7] ὑποτοποῦσι, καὶ φυλάττεσθαί οἱ παραινοῦσιν, οὐχ ὅπως ἀπιστοῦντος[8], ἀλλὰ καὶ ἐπιτιμῶντος, ὡς μάτην αὐτοῖς τε ταραττομένοις, καὶ ἐκείνους διαβάλλουσιν· ἐπανίστανταί[9] τινες πρῶτοι τῶν ἄπωθεν αὐτοῦ οἰκούντων ἐκ παρασκευῆς, ὅπως ἐπ' αὐτοὺς ὁ Οὔαρος ὁρμήσας, εὐαλωτότερος σφίσιν ἐν τῇ πορείᾳ, ὡς καὶ διὰ φιλίας διϊών, γένηται, μηδὲ, ἐξαίφνης πάντων ἅμα πολεμωθέντων αὐτῷ, φυλακήν τινα ποιήσηται. Καὶ ἔσχεν οὕτω[10]. Προέπεμψάν τε γὰρ αὐτὸν ἐξορμῶντα[11]· καὶ οὐ[12] παρέμενον[13], ὡς καὶ τὰ συμμαχικὰ

1. Dans G, les mots καὶ φιλικότατα sont] en marge et d'une autre main. — 2. C, G, H : δέδωκε. Ἦσαν.

3. C : συνομώσαντες. — 4. C om.

5. E : Ἀρμένιος; Lncl., Léonicène et I : Ἀρμένιος. Sur ce nom et le suivant. cf. la note 63 dans Rm. — 6. C : Σιγίμερος. — 7. Correction de Xld., adoptée par les éd. subséq.; E : τῷ τότε γιγνομένοις; G : πᾶσι τοῦτό τι γιγνομένοις. Quant à la leçon, non moins corrompue : τὸ τότε νιννομένσις, q ui, suivant Stnrz, se trouve dans I [Med. b.], les notes

d'une amitié fidèle, ils lui inspirèrent la confiance qu'il pouvait les tenir en esclavage, même sans le secours de ses soldats.

19. Varus donc, au lieu d'avoir ses légions réunies, comme cela se doit faire en pays ennemi, les dispersa en nombreux détachements, sur la demande des habitants les plus faibles, sous prétexte de garder certaines places, de s'emparer de brigands ou de veiller à l'arrivée des convois de vivres. Les principaux conjurés, les chefs du complot et de la guerre, furent, entre autres, Arminius et Sigimère, qui avaient avec Varus des rapports continuels et souvent partageaient sa table. Cependant, tandis que Varus est plein de confiance, et que, loin de s'attendre à aucun malheur, il refuse d'ajouter foi à aucun de ceux qui soupçonnent ce qui se passe et l'avertissent de se tenir sur ses gardes, que même il les repousse comme des gens qui s'alarment sans sujet et calomnient les Germains, quelques-unes des peuplades lointaines se soulèvent à dessein les premières, afin qu'en se dirigeant contre elles, il soit plus aisé à surprendre dans sa marche à travers un pays qu'il croit ami, et que, la guerre n'éclatant pas sur tous les points à la fois, il ne se tienne pas sur ses gardes. C'est ce qui arriva. Ils l'accompagnèrent à son départ et ne le suivirent pas dans sa

de M. Gros n'en parlent pas. — 8. Rsk., désapprouvé par St. : ἀπειστοῦντος, *molem gerere nolente*. Sur le fait historique, cf. Florus, IV, 12, 33; Velléius Paterc., II, 48. — 9. G, H : διαβάλλουσι · ἐπανίστανται. 10. C, G, H et Bkk. : οὕτως. — 11. Rm., dans la version latine, leçon qu'il prétend avoir empruntée à C [V. b.], mais dont je ne trouve aucune trace dans les notes de M. Gros, G, K, St., Bkk. et Ddf; seulement, G lit τι au lieu de τε, et omet αὐτόν. Vulg. : προέτρεψάν τε γὰρ ἐξορμῶντα. — 12. Bkk. et Ddf; vulg. om. — 13. K : παρέμενεν.

παρασκευάσοντες, καὶ διὰ ταχέων οἱ προσβοηθήσοντες. Τάς τε δυνάμεις ἐν ἑτοίμῳ που οὔσας [1] παρέλαβον, καὶ ἀποκτείναντες τοὺς παρὰ σφίσιν ἕκαστοι [2] στρατιώτας, οὓς πρότερον ἠτήκεσαν, ἐπῆλθον αὐτῷ ἐν ὕλαις ἤδη δυσεκβάτοις ὄντι. Κἀνταῦθα ἅμα τε ἀνεφάνησαν [3] πολέμιοι ἀνθ' ὑπηκόων ὄντες, καὶ πολλὰ καὶ δεινὰ εἰργάσαντο.

20. Τά τε γὰρ ὄρη καὶ φαραγγώδη καὶ ἀνώμαλα, καὶ τὰ δένδρα καὶ πυκνὰ καὶ ὑπερμήκη ἦν· ὥστε τοὺς Ῥωμαίους, καὶ πρὶν τοὺς πολεμίους σφίσι προσπεσεῖν, ἐκεῖνά τε τέμνοντας καὶ ὁδοποιοῦντας, γεφυροῦντάς τε τὰ τούτου δεόμενα, πονηθῆναι. Ἦγον δὲ καὶ ἁμάξας πολλὰς, καὶ νωτοφόρα [4] πολλὰ, ὡς καὶ [5] ἐν εἰρήνῃ· παῖδες τε οὐκ ὀλίγοι καὶ γυναῖκες, ἥ τε ἄλλη [6] θεραπεία συχνὴ αὐτοῖς συνείπετο· ὥστε καὶ κατὰ τοῦτο ἐσκεδασμένῃ [7] τῇ ὁδοιπορίᾳ χρῆσθαι. Κἀν τούτῳ [8] καὶ ὑετὸς καὶ ἄνεμος πολὺς ἐπιγενόμενοι ἔτι καὶ μᾶλλον σφᾶς διέσπειραν· τό τε ἔδαφος ὀλισθηρὸν περί τε ταῖς ῥίζαις καὶ περὶ τοῖς στελέχεσι [9] γενόμενον, σφαλερώτατα αὐτοὺς βαδίζειν ἐποίει· καὶ τὰ ἄκρα τῶν δένδρων καταθραυόμενα καὶ καταπίπτοντα διετάρασσεν [10]. Ἐν τοιαύτῃ οὖν δή τινι ἀμηχανίᾳ τότε τῶν Ῥωμαίων ὄντων, οἱ βάρβαροι πανταχόθεν ἅμα αὐτοὺς ἐξαπι-

1. Correction de Xld., adoptée par les éd. subséq. (avec Bkk. et Ddf, je substitue που à la vulgate πῃ; C : ποι); E, G : ἐν ἑτοίμῳ ποιούσας.

2. C : σφίσι ἕκαστοι.

3. G : ἀνεφώνησαν. — 4. Correction de Xld., adoptée par les éd. subséq.; C, E, G, I : νωτοφόρια.

marche, sous prétexte de lui procurer des auxiliaires et d'aller promptement à son secours. Ils se réunirent aux troupes qu'ils avaient disposées dans un lieu favorable, et, massacrant chacun les soldats qu'ils avaient eux-mêmes auparavant appelés chez eux, ils rejoignirent Varus déjà engagé dans des forêts inextricables. Là, ils se déclarèrent tout à coup ennemis au lieu de sujets, et se livrèrent à un grand nombre d'actes affreux.

20. Les montagnes étaient coupées de vallées nombreuses et inégales, les arbres étaient tellement serrés et d'une hauteur tellement prodigieuse, que les Romains, même avant l'attaque des ennemis, étaient fatigués de les couper, d'y ouvrir des routes et de les employer à construire des ponts partout où il en était besoin. Ils menaient avec eux un grand nombre de chariots et de bêtes de somme, comme en pleine paix ; ils étaient suivis d'une foule d'enfants et de femmes, ainsi que de toute la multitude ordinaire des valets d'armée : aussi marchaient-ils sans ordre. Une pluie et un grand vent, qui survinrent dans ce même temps, les dispersèrent davantage encore ; le sol, devenu glissant auprès des racines et auprès des troncs, rendait les pas mal assurés ; la cime des arbres, se brisant et se renversant, jeta la confusion parmi eux. Ce fut au milieu d'un tel embarras que les barbares, grâce à leur connaissance des sentiers, fondant subitement de toute part sur les Romains à travers les

5. K et Ddf om. — 6. G, H : ἄλλοι.

7. G et Ddf : τοῦτ' ἰσχεδασμένῃ. — 8. G : Κἂν τοῦτο. — 9. G : ταῖς τελέχεσι.

10. St. ne doute pas que Dion ait écrit διετάραττεν, suivant son habitude.

R.p.821. ναίως [1] δι' αὐτῶν τῶν λοχμωδεστάτων, ἅτε καὶ ἔμπειροι τῶν τριμμῶν [2] ὄντες, περιεστοιχίσαντο· καὶ τὸ μὲν πρῶτον πόρρωθεν ἔβαλον [3], ἔπειτα δὲ, ὡς ἠμύνετο μὲν οὐδεὶς ἐτιτρώσκοντο δὲ πολλοὶ, ὁμόσε αὐτοῖς ἐχώρησαν· οἷα γὰρ οὔτε ἐν τάξει τινὶ, ἀλλὰ ἀναμὶξ [4] ταῖς τε ἁμάξαις καὶ τοῖς ἀόπλοις πορευόμενοι [5], οὔτε συστραφῆναί πη ῥᾳδίως δυνάμενοι, ἐλάττους τε καθ' ἑκάστους τῶν ἀεὶ προσμιγνύντων σφίσιν ὄντες, ἔπασχον μὲν πολλὰ, ἀντέδρων δὲ οὐδέν.

21. Αὐτοῦ τε οὖν ἐστρατοπεδεύσαντο, χωρίου τινὸς ἐπιτηδείου [6], ὡς γε ἐν ὄρει ὑλώδει ἐνεδέχετο, λαβόμενοι, καὶ μετὰ τοῦτο τάς τε πλείους ἁμάξας καὶ τἄλλα [7] τὰ μὴ πάνυ σφίσιν ἀναγκαῖα, τὰ μὲν κατακαύσαντες, τὰ δὲ καὶ καταλιπόντες, συντεταγμένοι μέν πη [8] μᾶλλον τῇ ὑστεραίᾳ ἐπορεύθησαν, ὥστε καὶ ἐς ψιλόν τι χωρίον προχωρῆσαι· οὐ μέντοι καὶ ἀναιμωτὶ [9] ἀπηλλαξαν. Ἐντεῦθεν δὲ ἄραντες, ἔς τε ὕλας αὖθις ἐσέπεσον [10], καὶ ἠμύνοντο μὲν πρὸς τοὺς προσπίπτοντας σφίσιν, οὐκ ἐλάχιστα δὲ δὴ καὶ κατ' αὐτὸ τοῦτο [11] ἔπταιον· συστρεφόμενοι γὰρ ἐν στενοχωρίᾳ, ὅπως ἀθρόοι ἱππεῖς τε ὁμοῦ καὶ ὁπλῖται ἐπιτρέχωσιν αὐτοῖς, πολλὰ μὲν περὶ ἀλλήλοις, πολλὰ δὲ καὶ περὶ τοῖς δένδροις ἐσφάλλοντο. Τρίτη τ' ἄρ' ἡμέρα [12] πορευομέ-

1. G : ἐξαπινέως (sic). — 2. C, G, H : τριβῶν. — 3. C, G, H et Ddf : ἔβαλλον. — 4. Bkk. : ἀλλ' ἀναμίξ.
5. H : πορευόμενος. — 6. C : ἐπιτηδεία.
7. C, G, H : τὰ ἄλλα. — 8. Rsk. : μέν τι οὐ μὲν ἐπί. — 9. G : ἀναιτίμως.

fourrés, les enveloppèrent : ils les attaquèrent d'abord de loin à coup de traits, puis, comme personne ne se défendait et qu'il y en avait un grand nombre de blessés, ils avancèrent plus près ; les Romains, en effet, marchant sans aucun ordre, pêle-mêle avec les chariots et les hommes sans armes et ne pouvant se rallier aisément, étant d'ailleurs moins nombreux que les ennemis qui les attaquaient, éprouvaient des maux innombrables sans en rendre.

21. Là, ayant rencontré un endroit favorable, autant du moins que le permettait une montagne couverte de forêts, ils y posèrent leur camp ; puis, après avoir, partie brûlé, partie abandonné la plupart de leurs chariots et ceux de leurs bagages qui ne leur étaient pas absolument indispensables, ils se mirent en route, le lendemain, dans un meilleur ordre, afin d'atteindre un lieu découvert ; cependant ils ne partirent pas sans avoir versé bien du sang. En effet, après avoir quitté ce campement, ils tombèrent de nouveau dans des forêts et eurent à repousser des attaques, ce qui ne fut pas la moindre cause de leurs malheurs. Réunis dans un lieu étroit, afin que cavaliers et fantassins à la fois pussent charger l'ennemi en colonnes serrées, ils eurent beaucoup à se heurter entre eux et contre les arbres. Le troisième jour après leur départ, une pluie torrentielle,

10. La forêt de Teutberg, dans le voisinage de Horn, en Westphalie.

11. C, G, H, Bekk. et Ddf, leçon approuvée par St. ; vulg. : κατὰ τοῦτο αὐτό.

12. Bkk. (τ' ἄρ' est donné par lui en note, comme conjecture), d'après Rsk. ; Ddf : Τετάρτη τε ἡμέρα... vulg. : Τότε γὰρ ἡμέρα.

νοις σφίσιν ἐγένετο[1], καὶ αὐτοῖς ὑετός τε αὖθις λάβρος[2] καὶ ἄνεμος μέγας προσπεσὼν, οὔτε ποι προϊέναι, οὔθ' ἵστασθαι παγίως ἐπέτρεπεν, ἀλλὰ καὶ τὴν χρῆσιν σφᾶς τῶν ὅπλων ἀφεῖλετο· οὔτε γὰρ τοῖς τοξεύμασιν, οὔτε τοῖς ἀκοντίοις, ἢ ταῖς γε ἀσπίσιν, ἅτε καὶ διαβρόχοις οὔσαις, καλῶς χρῆσθαι ἐδύναντο. Τοῖς γὰρ πολεμίοις, ψιλοῖς τε τὸ πλεῖστον οὖσι, καὶ τὴν ἐξουσίαν καὶ τῆς ἐφόδου καὶ τῆς ἀναχωρήσεως ἀδεᾶ ἔχουσιν, ἧττόν που ταῦτα συνέβαινε. Πρὸς δ' ἔτι, αὐτοί τε πολὺ πλείους γεγονότες[3] (καὶ γὰρ τῶν ἄλλων τῶν πρότερον περισκοπούντων συχνοὶ ἄλλως τε καὶ ἐπὶ τῇ λείᾳ συνῆλθον), καὶ[4] ἐκείνους ἐλάττους ἤδη ὄντας[5] (πολλοὶ γὰρ ἐν ταῖς πρὶν μάχαις ἀπολώλεσαν) καὶ ἐκυκλοῦντο[6] ῥᾷον καὶ κατεφόνευον[7]· ὥστε καὶ τὸν Οὔαρον καὶ τοὺς ἄλλους τοὺς λογιμωτάτους[8], φοβηθέντας μὴ ἥττοι ζωγρηθῶσιν, ἢ καὶ πρὸς τῶν ἐχθίστων ἀποθάνωσι (καὶ γὰρ τετρωμένοι ἦσαν), ἔργον δεινὸν μὲν, ἀναγκαῖον δὲ, τολμῆσαι· αὐτοὶ γὰρ ἑαυτοὺς ἀπέκτειναν.

22. Ὡς δὲ τοῦτο διηγγέλθη, οὐδὲ τῶν[9] ἄλλων οὐδεὶς ἔτι, εἰ καὶ ἔῤῥωτό τις, ἠμύνατο· ἀλλ' οἱ μὲν τὸν ἄρχοντα σφῶν ἐμιμήσαντο, οἱ δὲ, καὶ τὰ ὅπλα παρέντες, ἐπέτρεπον σφᾶς τῷ βουλομένῳ φονεύειν· φυγεῖν γὰρ, οὐδ' εἰ τὰ μάλιστά τις ἤθελεν, ἐδύνατο. Ἐκόπτετό τε οὖν ἀδεῶς πᾶς

1. Lncl. voudrait lire : Τότε γὰρ ἡ ἡμέρα... [cf. la note précédente] ἐξεγένετο, par opposition à νὺξ ἐπεγένετο, du ch. suivant.

2. C, G : λαῦρος. — 3. C : ἐγένοντο, avec des points sous chaque lettre, et en marge : γεγονότες. — 4. Rsk. voudrait supprimer ici cette particule.

mêlée à un grand vent, étant de nouveau survenue, ne leur permit ni d'avancer, ni de s'arrêter avec sûreté, et même leur enleva l'usage de leurs armes; ils ne pouvaient, en effet, se servir ni de leurs arcs, ni de leurs javelots, ni de leurs boucliers à cause de l'humidité. Ces accidents étaient moins sensibles pour les ennemis, la plupart légèrement armés et libres d'avancer ou de reculer. En outre, les barbares, dont le nombre s'était considérablement accru (beaucoup de ceux qui auparavant se contentaient de regarder s'étaient joints à eux, en vue surtout du butin), entouraient aisément et massacraient les Romains dont le nombre, au contraire (ils avaient perdu beaucoup des leurs dans les précédents combats), était déjà bien diminué; en sorte que Varus et les principaux chefs (ils étaient blessés), craignant d'être pris vifs ou mis à mort par des ennemis implacables, osèrent une action, affreuse il est vrai, mais nécessaire : ils se donnèrent eux-mêmes la mort.

22. A cette nouvelle, personne, même celui qui en avait la force, ne se défendit plus; les uns imitèrent leur chef, les autres, jetant leurs armes, se laissèrent tuer par qui le voulut; car la fuite, quelque désir qu'on eût de s'échapper, était impossible. Hommes et chevaux, tout

5. G : ὄντως. — 6. Bkk. et Ddf; vulg. : ἐκύκλουν τε. — 7. G : καταφόνευσαν. — 8. Xph. : ἀλλογιμωτάτους, qui semble préférable à Lncl. et au savant que Rm. appelle N; la vulg. est confirmée par Zn. et les mss. de Dion. — 9. G : οὐδὲ γὰρ τῶν.

καὶ ἀνὴρ καὶ ἵππος, καὶ τά τε [1].... τὸ μὲν πρῶτον τό τε δεύτερον σφῶν φυλακτήριον παρῆλθον· ἐπεὶ δὲ πρὸς τῷ τρίτῳ ἐγένοντο, ἐφωράθησαν, τῶν τε γυναικῶν καὶ τῶν παίδων συνεχῶς τοὺς ἐν τῇ ἡλικίᾳ, διά τε τὸν κάματον, καὶ διὰ τὸν φόβον τό τε σκότος καὶ τὸ ψύχος ἀνακαλούν-
R.p.822. των. Κἂν πάντες ἀπώλοντο, ἢ καὶ ἑάλωσαν, εἰ μὴ οἱ βάρβαροι περὶ τὴν τῆς λείας ἁρπαγὴν ἄσχολοι ἐγένοντο. Οὕτω γὰρ οἵ τε [2] ἐῤῥωμενέστατοι πολὺ [3] ἀπέσπασαν [4], καὶ οἱ σαλπιγκταὶ οἱ σὺν αὐτοῖς ὄντες, τροχαῖόν [5] τι συμβοήσαντες, δόξαν τοῖς ἐναντίοις (νὺξ γὰρ ἐπεγένετο, καὶ οὐχ ἑωρῶντο [6]) ὡς καὶ παρὰ τοῦ Ἀσπρήνου πεπεμμένοι [7] παρ-

τι δεινὸν, καίπερ δεινὸν ὂν, ἀλλ' ὅτι τοῖς τε φόνοις αὐτῶν ὑπερέχαιρε καὶ τῆς τοῦ αἵματος θέας ἀπλήστως εἶχεν[1]. Ὑπὸ δὲ δὴ τῆς αὐτῆς ὠμότητος, ἐπιλιπόντων[2] ποτὲ τῶν τοῖς θηρίοις ἐκ καταδίκης διδομένων, ἐκέλευσεν ἐκ τοῦ ὄχλου τοῦ τοῖς ἱκρίοις[3] προσεστηκότος συναρπασθῆναί
R.p. 913. τέ[4] τινας καὶ παραβληθῆναι σφίσι· καὶ ὅπως γε[5] μήτε ἐπιβοήσασθαι μήτε αἰτιάσασθαί τι δυνηθῶσι, τὰς γλώσσας αὐτῶν προαπέτεμε[6]. Τῶν τε ἱππέων[7] τινὰ τῶν ἐπιφανῶν μονομαχῆσαί τε, ὡς καὶ ὑβρίσαντα[8] τὴν μητέρα αὐτοῦ τὴν Ἀγριππῖναν, ἠνάγκασε, καὶ νικήσαντα κατηγόροις παρέδωκε, καὶ ἀπέσφαξε. Τόν τε πατέρα[9] αὐτοῦ, μηδὲν[10] ἀδικήσαντα, ἔς τε[11] γαλεάγραν, ὥσπερ καὶ ἄλλους συχνοὺς, καθεῖρξε[12], κἀνταῦθα[13] διέφθειρεν. Ἐποίησε[14] δὲ τοῦς ἀγῶνας τούτους τὰ μὲν πρῶτα ἐν τοῖς Σέπτοις, πᾶν τὸ χωρίον ἐκεῖνο διορύξας καὶ ὕδατος πληρώσας, ἵνα μίαν ναῦν ἐσαγάγῃ· ἔπειτα δὲ καὶ ἑτέρωθι, πλεῖστά τε καὶ μέγιστα οἰκοδομήματα καθελὼν[15] καὶ ἱκρία πηξάμενος· τὸ γὰρ τοῦ Ταύρου θέατρον[16] ὑπερεφρόνησε. Τούτων τε οὖν ἕνεκα, καὶ διὰ τὰς δαπάνας καὶ διὰ τοὺς φόνους, αἰτίαν εἶχε[17], καὶ ὅτι τὸν Μάκρωνα μετὰ τῆς Ἐννίας, μήτε τοῦ

1. Suétone, 29 : « Nihil magis in natura sua laudare se ac probare dicebat, quam, ut ipsius verbo utar, ἀδιατρεψίαν. » — 2. C, i, Bkk. et Ddf; vulg. : ἐπιλειπόντων.

3. G, H : ἰβρίοις. — 4. Xph. et Peir. om. — 5. C om.

6. C : ἀπέτεμε. Suétone, 27 : « Equitem Romanum, objectum feris, quum se innocentem proclamasset, reduxit; abscissaque lingua, rursus induxit. »

7. Peir. : Ὅτι τῶν ἱππέων, avec indication d'un nouveau paragraphe.

horrible qu'il fût, que du plaisir extrême que lui causaient ces massacres, et de son insatiable avidité de voir couler le sang. Dans sa cruauté, un jour qu'on manquait de criminels condamnés aux bêtes, il donna l'ordre de saisir quelques-uns des spectateurs assis sur les bancs du théâtre et de les leur jeter; et, pour qu'ils ne pussent ni s'écrier ni se plaindre de cette violence, il leur fit préalablement couper la langue. Il força un chevalier illustre à combattre comme gladiateur, sous prétexte qu'il avait outragé sa mère Agrippine; et, le chevalier ayant été vainqueur, il le livra aux accusateurs et le mit à mort. Le père de ce chevalier, qui n'avait commis aucun crime, fut, ainsi que bien d'autres, enfermé dans une cage et y périt. Caius célébra ces jeux d'abord dans les Septa, qu'on avait creusés en entier et remplis d'eau, afin d'y amener, en tout, un navire; il les célébra ensuite dans un autre endroit où il démolit plusieurs grands édifices pour mettre à la place un échafaudage; car il dédaignait le théâtre de Taurus. Ces entreprises, de même que ses dépenses et ses meurtres, lui attirèrent la haine publique, et il y ajouta en réduisant Macron et Ennia, malgré l'amour de l'une et les bienfaits de l'autre qui

8. C, G : ὑβρίσαι. — 9. Peir. : Ὅτι τὸν πατέρα, avec indication d'un nouveau paragraphe. — 10. G : μηδένα. — 11. Peir. om.

12. Suétone, 27 : « Multos honesti ordinis.. bestiarum more quadrupedes cavea coërcuit. » — 13. Peir. : κάνταῦτα (*sic*).

14. C, G, H : διέφθειρε. Ἐποίησε. — 15. C, E, om. : καθελών, mot ajouté par Xld., d'après Xph., et par les éd. subséq., confirmé d'ailleurs par les autres mss. — 16. Sur le théâtre de Taurus, cf. LI, 22.

17. Au lieu de αἰτίαν εἶχε, Xph. : στυγητὸς ἦν.

ταύτης ἔρωτος, μήτε τῶν ἐκείνου εὐεργετημάτων[1], δι' ὧν τά τε ἄλλα καὶ τὴν ἀρχὴν αὐτῷ μόνος[2] συγκατέπραξε, μνησθεὶς, ἔς τε ἐκουσίου[3] δὴ θανάτου ἀνάγκην, καίπερ καὶ τὴν Αἴγυπτόν οἱ προστάξας, καὶ ἐς αἰσχύνην, ἧς αὐτὸς τὸ πλεῖστον μετεῖχε, κατέστησε[4]· προαγωγείας[5] γὰρ ἔγκλημα αὐτῷ πρὸς τοῖς ἄλλοις ἐπήγαγε. Κἀκ τούτου καὶ ἕτεροι πολλοὶ, οἱ[6] μὲν καταψηφισθέντες, οἱ δὲ καὶ πρὶν ἁλῶναι ἐφονεύθησαν· πρόφασιν μὲν, διά τε τοὺς γονέας καὶ διὰ τοὺς ἀδελφοὺς αὐτοῦ, τούς τε ἄλλους τοὺς δι' ἐκείνους ἀπολομένους[7], τὸ δ' ἀληθὲς, διὰ τὰς οὐσίας· οἵ τε γὰρ θησαυροὶ ἐξανάλωντο, καὶ οὐδὲν αὐτῷ ἐξήρκει. Ἠλέγχοντο δὲ καὶ ἐκ τῶν καταμαρτυρούντων σφῶν, καὶ ἐκ τῶν γραμμάτων ἃ κατακεκαυκέναι ποτὲ ἔφη[8]. Καὶ ἑτέρους ἥ τε νόσος ἡ τῷ προτέρῳ ἔτει οἱ συμβᾶσα[9], καὶ ὁ τῆς Δρουσίλλης τῆς ἀδελφῆς αὐτοῦ θάνατος ἔφθειρε· τά τε γὰρ ἄλλα, καὶ εἴ τις εἰστίασεν, ἢ ἠσπάσατό τινα, ἢ καὶ ἐλούσατο ἐν ταύταις ταῖς[10] ἡμέραις, ἐκολάζετο.

11. Τῇ δὲ[11] Δρουσίλλῃ συνῴκει μὲν Μάκρος[12] Λέπι-

1. G : εὐεργετιμώτων. — 2. Rsk., Bkk. et Ddf; vulg. : μόνῳ. Sur les services rendus à Caius par Macron, préfet des cohortes prétoriennes, et sur Ennia Thrasylla, sa femme, cf. LVIII, 28. Philon, p. 774 : Ἐμόν ἐστι τοῦ Μάκρωνος ἔργον Γάϊος. Μᾶλλον αὐτὸν, ἢ οὐχ ἧττον, τῶν γονέων γεγέννηκα. Τρὶς, οὐχ ἅπαξ, ἀνήρπαστο ἂν ἐπ' αὐτῷ Τιβερίου φωνῶντος, εἰ μὴ δι' ἐμὲ καὶ τὰς ἐμὰς παρηγορίας.

3. Rsk., K, Bkk et Df; vulg., E, G : ὥστε ἑκούσιον; Lncl. : ἔς τε ἑκούσιον, à cause de καὶ ἐς αἰσχύνην, qui suit, leçon confirmée par C, H, I et par Xph., admise par Rm. et conservée par St., bien qu'il aimât mieux ἑκουσίου.

4. Philon rapporte que Macron et Ennia furent contraints de se don-

seul avait contribué par ses efforts à lui donner l'empire, à la nécessité de se donner volontairement la mort, bien qu'il eût confié à Macron le gouvernement de l'Égypte, et en les couvrant d'une infamie dont la plus grande part retomba sur lui; car, entre autres choses, il reprochait à Macron d'avoir été un instigateur de débauches. Beaucoup de personnes furent, par suite, mises à mort, les unes après condamnation, les autres avant même d'avoir été jugées, sous prétexte des parents et des frères du prince, et des citoyens qui avaient péri à leur occasion, mais, en réalité, à cause de leurs richesses, car le trésor était épuisé, et rien ne suffisait à Caius. Les instruments de ces accusations étaient, soit de faux témoins, soit les lettres que Caius avait autrefois déclaré avoir brûlées. Pour d'autres, ce fut la maladie dont l'empereur avait été attaqué l'année précédente et la mort de sa sœur Drusilla qui causèrent leur perte ; car pour avoir, pendant ces jours-là, donné un festin, salué quelqu'un, ou même pris le bain, on était livré au supplice.

11. Drusilla eut pour mari M. Lépidus, mignon et

ner la mort. Suétone, 26 : « Pro meritorum gratia cruenta mors persoluta est. » — 5. C, i : προαγωγίας, que St. préfère.

6. Rsk., Bkk. et Ddf; vulg. om. — 7. Cf. Suétone, Tib., 61. Le même, Calig., 30 : « Sæpe in cunctos pariter senatores, ut Sejani clientes, ut matris ac fratrum suorum delatores invectus est. »

8. Cf. ch. 4, et Suétone, 30. — 9. Cf. ch. 8. — 10. Oddey et Rsk., conjecture reproduite en note par Bkk.; vulg. om. Sur le fait historique, cf. ch. suiv., et Suétone, 24. — 11. C om.

12. G, H : Γάρβος; quant à Γράκχος, qui, suivant Rm., se trouve dans C [V. b], et aussi, suivant St., dans H [Taur.], les notes de M. Gros n'en parlent pas.

δος [1], παιδικά τε ἅμα αὐτοῦ καὶ ἐραστὴς ὤν, συνῆν δὲ καὶ
ὁ Γαΐος· καὶ αὐτὴν ἀποθανοῦσαν τότε ἐπήνεσε μὲν ὁ ἀνήρ,
δημοσίας δὲ ταφῆς ὁ ἀδελφὸς ἠξίωσε· καὶ οἵ τε δορυφόροι
R.p. 914. μετὰ τοῦ ἄρχοντος σφῶν, καὶ χωρὶς οἱ ἱππεῖς ἐκ τοῦ τέ-
λους [περιέδραμον] [2], οἵ τε εὐγενεῖς παῖδες τὴν Τροίαν περὶ
τὸν τάφον αὐτῆς περιἵππευσαν, καί οἱ τά τε ἄλλα, ὅσα τῇ
Λιουΐᾳ [3] ἐδέδοτο, ἐψηφίσθη, καὶ ἵνα ἀθανατισθῇ [4], καὶ ἐς τὸ ἐν
τῇ ἀγορᾷ Ἀφροδίσιον ἄγαλμα αὐτῆς ἰσομέτρητον τῷ τῆς
θεοῦ ἐπὶ ταῖς ὁμοίαις τιμαῖς ἱερωθῇ· σηκός τε ἴδιος οἰκο-
δομηθῇ, καὶ ἱεραῖς εἰκόσιν οὐχ ὅτι ἄνδρες, ἀλλὰ καὶ γυναῖ-
κες γεραίρωνται [5]· αἵ τε γυναῖκες αὐτὴν, ὁσάκις ἂν μαρ-
τυρῶσί τι, ὀμνύωσι [6], καὶ ἐν τοῖς γενεσίοις αὐτῆς [7] ἑορτή τε
ὁμοία τοῖς Μεγαλησίοις ἄγηται, καὶ ἡ γερουσία ἥ τε ἱππὰς
ἑστιᾶται. Τότε οὖν Παυθέα τε [8] ὠνομάζετο, καὶ τιμῶν
δαιμονίων ἐν πάσαις ταῖς πόλεσιν ἠξιοῦτο· Λιούϊός [9] τέ
τις Γεμινίος [10] βουλευτὴς ἐς τε τὸν οὐρανὸν αὐτὴν ἀνα-
βαίνουσαν καὶ τοῖς θεοῖς συγγιγνομένην ἑωρακέναι ὤμοσεν,

1. Suétone, 24 : « Drusillam L. Cassio Longino consulari collocatam abduxit, et in modum justæ uxoris propalam habuit. » Il est curieux que Suétone ne dise pas un mot de son mariage avec Lépidus, bien qu'il rapporte, un peu plus loin, la condamnation de Lépidus avec les autres sœurs du prince. — 2. Vulg. : τὸ τέλος; Bkk. indique une lacune après τὸ τέλος, et il propose de la remplir par περιέδραμον, qui se lit dans Dion (LVI, 42), lorsqu'il raconte les funérailles d'Auguste. J'adopte sa conjecture, mais je mets ce mot entre crochets, et de plus, avec Rsk., je substitue ἐκ τοῦ τέλους (cf. l'endroit cité) à τὸ τέλος; St., s'appuyant sur un autre passage de notre auteur (XLII, 51), donne ἱππεῖς τοῦ τέλους, sans lacune. Dans ce cas, les chevaliers se trouveraient, eux aussi, représenter *la Troyenne*, ce qui est contraire à tous les témoignages de l'antiquité. Ddf indique une lacune après ἱππεῖς, et conserve τὸ τέλος; le mot χωρίς,

amant à la fois de l'empereur, mais Caius aussi avait commerce avec elle : à sa mort, qui arriva alors, son mari fit son éloge et son frère l'honora d'une sépulture aux frais de l'État : les soldats prétoriens avec leur chef, ceux des chevaliers qui servaient dans l'armée, défilèrent autour de son tombeau, et les enfants patriciens représentèrent la cavalcade troyenne ; enfin, tous les honneurs qui avaient été accordés à Livie lui furent décernés : elle eut une place parmi les immortels ; elle fut représentée en or dans la curie ; la statue de Vénus, sur le Forum, reproduisit Drusilla dans une figure de grandeur égale à celle de la déesse et qui devait recevoir les mêmes hommages ; on lui bâtit une chapelle particulière, et vingt prêtres, hommes et femmes, furent attachés à son culte; les femmes jurèrent par elle toutes les fois qu'elles attestaient quelque chose avec serment ; une fête semblable à celle des jeux Mégalésiens était célébrée le jour de sa naissance, et sénateurs et chevaliers étaient invités à un banquet. On lui donna alors le nom de Panthée, et elle obtint les honneurs divins dans toutes les villes. Un sénateur, Livius Géminius, jura qu'il l'avait vue monter au ciel et prendre rang parmi les dieux, appelant la malé-

qui se lit ici, pourrait bien faire qu'il n'ait pas tort. — 3. Rsk., St., Bkk. et Ddf; vulg. : τῇ τε Λιουλᾳ. — 4. I et Bkk. : ἵν' ἀθανατισθῇ.

5. Correction de Robert Étienne, adoptée par les éd. subséq., excepté Ddf, qui, avec C, E, G, conserve γένωνται. Rsk. ne croit pas qu'on trouve, au moyen, γεραίρεσθαι dans le sens d'honorer ; il veut, en conséquence, lire γεραίρωσιν (conjecture reproduite en note par Bkk.), ou préférablement, dit-il, σέβωνται. — 6. Bien plus (Suétone, 24) : « Nec unquam Caius postea quantiscumque de rebus, ne pro concione quidem populi, aut apud milites, nisi per numen Drusillæ dejeravit. »

7. G : αὐτοῖς. — 8. C, G : Πανθέα ται ; H : Πᾶν θεήται ; C : Πανθέα τον. Vulg., Bkk. et Ddf : Πάνθεή τε ; mais α étant long, l'autre accentuation est plus correcte. — 9. Lncl, en marge : Λούκιος. Gruter, CMLIII, 1, mentionne un Livius Gémellus. — 10. G : Γεμόνιος.

ἐξώλειαν[1] καὶ[2] ἑαυτῷ καὶ τοῖς παισὶν, εἰ ψεύδοιτο, ἐπαρασάμενος, τῇ τε τῶν ἄλλων θεῶν ἐπιμαρτυρίᾳ, καὶ τῇ αὐτῆς[3] ἐκείνης· ἐφ' ᾧ πέντε καὶ εἴκοσι μυριάδας ἔλαβε. Τούτοις τε οὖν αὐτὴν ὁ Γάϊος ἐτίμησε, καὶ τῷ τὰς πανηγύρεις τὰς τότε ὀφειλούσας γενέσθαι, μήτε ἐν τῷ νενομισμένῳ χρόνῳ, πλὴν τῆς ὁσίας ἕνεκα, μήτ' αὖθίς ποτε ποιηθῆναι. Αἰτίαν τε πάντες ὁμοίως εἶχον, εἴθ' ἥσθησαν ἐπί τινι, ὡς χαίροντες, εἴτε[4] καὶ ὡς λυπούμενοί τι ἔπραξαν[5]· ἢ γὰρ μὴ
R.p.915. πενθεῖν αὐτὴν ὡς ἄνθρωπον, ἢ θρηνεῖν ὡς θεὸν, ἐνεκαλοῦντο. Πάρεστι δὲ ἐξ ἑνὸς πάντα τὰ τότε γενόμενα τεκμήρασθαι· τὸν γὰρ πωλήσαντα θερμὸν ὕδωρ[6] ἀπέκτεινεν, ὡς ἀσεβήσαντα.

12. Διαλιπὼν[7] δ'[8] οὖν ὀλίγας ἡμέρας, ἔγημε Λολλίαν Παυλῖναν[9], αὐτὸν τὸν ἄνδρα αὐτῆς Μέμμιον Ῥήγου-

1. C, G, H : ὥμοσε, ἐξώλειαν. — 2. K, St., Bkk. et Ddf ; vulg. om.

3. C : τῇ τε ἑαυτῆς — 4. G : οἵ τε. — 5. Ce passage a beaucoup exercé les interprètes. Fabricius : εἴτ' αἰσθησιν... ἔπραξαν ; Lncl. : εἴτε μὴ ἥσθησαν ἐπί τινι, ὡς λυπούμενοι εἴτε τι καὶ ὡς χαίροντες ἔπραξαν ; Oddey : εἴθ' ἥσθησαν ἐπί τινι, ὡς χαίροντες, εἴτε καὶ ὡς λυπούμενοί τι ἔπραξαν. Rm. propose : εἴτε μὴ ἥσθησαν ἐπί τινι, ὡς λυπούμενοι, εἴτε καὶ μὴ ἐλυποῦντο (s. e. ἐπί τινι) ὡς χαίροντες ἔπραξαν, d'autant plus que Dion insiste sur ce double sujet d'accusation θρηνεῖν et μὴ πενθεῖν ; mais ajoute-t-il, en pareil cas, on ne peut marcher sûrement sans le secours de mss. Rsk. voudrait supprimer ἥσθησαν ἐπί τινι, mots que, selon lui, le copiste a sans doute mis sans tenir compte des ratures de l'auteur, « qui, quum initio aliter eloqui vellet, ita orsus fuit, dein, non completo sensu, ad alium transiit. » Enfin St. : « Sed optima est scriptura Taurinensis (H ; je n'en trouve aucune trace dans les notes de M. Gros) : οἵ θ' ἥσθησαν ἐπί τινι, οἵ τε καὶ ὡς λυπούμενοι, εἴτε καὶ ὡς χαίροντες ἔπραξαν... *et qui* (vere) *lætarentur, et qui actionibus suis vel gaudium simularent.* Atque sic edidi. » Je ne suis pas en mesure de décider lequel a raison de St. ou de M. Gros ; mais la conjecture d'Oddey m'a semblé beaucoup moins

diction sur lui-même et sur ses enfants, s'il mentait, et invoquant le témoignage des autres dieux et celui de Drusilla elle-même; il reçut deux cent mille drachmes pour cette attestation. Tels furent les honneurs décernés par Caius à Drusilla; il voulut aussi que les jeux qui devaient alors avoir lieu ne fussent célébrés ni à l'époque fixée par la loi, si ce n'est pour la forme, ni qu'ils le fussent une autre fois. Tout le monde était pareillement accusé, soit qu'on se fût réjoui, parce qu'on avait montré du contentement, soit qu'on eût par quelque acte témoigné de la peine; c'était un crime de ne pas la pleurer, car elle était femme, et de la pleurer, parce qu'elle était déesse. Un seul exemple permet d'apprécier tout ce qui se passa alors : un homme fut mis à mort par Caïus, pour avoir vendu de l'eau chaude, comme coupable d'impiété.

12. Quelques jours écoulés, il épousa Lollia Paulina, dont il força le mari, Memmius Régulus, à la lui fiancer

An de Rome 792. Caius consul II et L. Apronius consul I.

s'écarter du texte généralement reçu : εἴθ' ἥσθησαν ἐπί τινι, ὡς λυπούμενοι, εἴτε καὶ ὡς χαίροντες ἔπραξαν. Ces sortes de transpositions ne sont pas rares dans les anciens mss.; celui de Turin (en supposant que la leçon s'y trouve) est de date récente et d'une autorité médiocre, n'étant pas, que je sache, copié sur un ms. beaucoup plus ancien. Je dois cependant confesser que je voudrais voir l'antithèse plus nettement marquée suivant la manière habituelle de Dion. — 6. Peir. : Ὅτι καὶ τὸν πολήσαντα (*sic*), avec indication d'un nouvel extrait. Nous avons vu (LVII, 14) Drusus, fils de Tibère, égaré par l'ivresse, ordonner de verser de l'eau chaude à ses gardes qui lui demandaient de l'eau pour éteindre un incendie; on peut donc conclure que l'eau chaude, comme boisson, entrait, au moins pour une certaine part, dans les délices des Romains.

7. G : Διαλυπών, que St. prétend être dans H (ce dont je ne trouve aucune trace dans les notes de M. Gros), « quod ne quis putet, ajoute-t-il, aoristum secundum esse verbi διαλυπέω, *hoc quidem paucis diebus tristitiæ datis.* »

8. K, Bkk. et Ddf.; vulg. om. — 9. Accentuation de Bkk. et de Ddf; vulg. : Παυλίναν. Sur le fait historique, cf. Suétone (25).

λον ἐγγυῆσαί οἱ τὴν γυναῖκα ἀναγκάσας, μὴ καὶ ἀνέγγυον[1] αὐτὴν παρὰ τοὺς νόμους λάβῃ. Καὶ εὐθύς γε[2] καὶ ἐκείνην ἐξήλασεν[3]. Ἐν δὲ τούτῳ, Σοαίμῳ[4] μὲν τὴν τῶν Ἰτυραίων τῶν Ἀράβων, Κότυϊ δὲ τήν τε Ἀρμενίαν τὴν Σμικροτέραν, καὶ μετὰ τοῦτο καὶ τῆς Ἀραβίας τινὰ[5], τῷ τε Ῥυμηταλκῃ[6] τὰ τοῦ Κότυος, καὶ Πολέμωνι τῷ τοῦ Πολέμωνος[7] υἱεῖ τὴν πατρῴαν ἀρχὴν, ψηφισαμένης δὴ τῆς βουλῆς, ἐχαρίσατο, ἔν τε τῇ ἀγορᾷ καὶ ἐπὶ τοῦ βήματος, ἐν δίφρῳ μεταξὺ τῶν ὑπάτων καθεζόμενος, καὶ παραπετάσμασι σηρικοῖς, ὥς γέ τινές φασι, χρησάμενος. Καὶ μετὰ τοῦτο πηλὸν πολὺν ἐν στενωπῷ τινι ἰδὼν, ἐκέλευσεν αὐτὸν ἐς τὸ τοῦ Οὐεσπασιανοῦ[8] τοῦ Φλαβίου ἱμάτιον, ἀγορανομοῦντός τε τότε καὶ[9] τῆς τῶν στενωπῶν καθαριότητος ἐπιμελουμένου, ἐμβληθῆναι[10]. Καὶ τοῦτο οὕτω πραχθὲν παραχρῆμα μὲν ἐν οὐδενὶ λόγῳ ὤφθη[11]· ὕστερον δὲ, τοῦ Οὐεσπασιανοῦ τὰ πράγματα τεταραγμένα καὶ πεφυρμένα[12] παραλαβόντος τε καὶ καταστησαμένου, ἔδοξεν οὐκ ἀθεεὶ γεγονέναι, ἀλλ' ἄντικρυς αὐτῷ τὴν πόλιν ὁ Γάϊος πρὸς ἐπανόρθωσιν ἐγκεχειρικέναι.

1. G : ἀνέγκυον. — 2. Rsk. : μέν. — 3. Suétone, cité plus haut, continue : « brevique missam fecit, interdicto cujusquam in perpetuum coitu. » Dion, plus loin (ch. 23), revient sur cette répudiation.

4. C : Σοαίμων. Sur ce personnage, cf. Reineccius, Histoire Julienne, tome III, p. 305 et suivantes. — 5. Oddey : « Contendo legendum : Σοαίμῳ μὲν τὴν τῶν Ἰτυραίων τῶν Ἀράβων (γῆν vel βασιλείαν) καὶ μετὰ τοῦτο καὶ τῆς Ἀραβίας, Κότυϊ δὲ καὶ τῆς Ἀραβίας τινά. » Rsk, : « Quid Arabia sibi velit apud Armeniam Minorem, non video. Cogitabam aliquando τῆς Μείζονος. scil. Ἀρμενίας pro τῆς Ἀραβίας. Sed a litteris nimium abit. An Ἰβηρίας ? » Bkk., en note, reproduit cette dernière conjecture.

afin de ne pas la prendre, contrairement aux lois, sans qu'elle lui eût été fiancée. Bientôt ensuite il la répudia à son tour. Sur ces entrefaites, il fit don à Soémus du royaume d'Arabie Iturée; à Cotys, de la Petite-Arménie, et ensuite de quelques parties de l'Arabie; à Rhymétalcès, des possessions de Cotys; et à Polémon, fils de Polémon, du royaume de ses pères; le tout, en apparence, en vertu d'un sénatus-consulte, assis dans le Forum, sur la chaise curule, au milieu des consuls et du haut de son tribunal, protégé par des voiles de soie, selon le rapport de quelques historiens. Quelque temps après, ayant aperçu quantité de boue dans une ruelle, il commanda qu'on la mît dans le manteau de Flavius Vespasien, qui était alors édile et chargé de la propreté des ruelles. Ce fait, dans le moment, passa inaperçu; mais, plus tard, Vespasien ayant trouvé le trouble et la confusion dans les affaires et y ayant rétabli l'ordre, il sembla que la chose n'était pas arrivée sans la volonté des dieux, et que Caius lui avait publiquement confié le soin de remédier à l'état de la ville.

6. C, G : Ῥωμιτάλκῃ. Rm. : « Ἰνινθιμηούῳ substituendum censebat Vaillantius ad Seguini selecta num., p. 395, quem refellit Spanhemius de U. N. Diss. VIII, p. 501. » — 7. C : Πολαίμωνος. Il en a été parlé XLIX, 25 et 44.

8. Rm., d'après Xph. et Zn.; de même St., Bkk. et Ddf; E : Οὐεσπεσιανοῦ; G : Θεσπεσιανοῦ, et, plus bas : Οὐεσπεσιανοῦ. — 9. Xph. (mais non f)om.

10. Cf. Suétone (Vesp., 5). Bien qu'Auguste (LIV, 26) eût établi des curateurs chargés de veiller à l'entretien des routes au-dedans de la ville, il semble résulter de ce passage que les édiles avaient conservé le soin de la propreté des ruelles. — 11. Rsk. : « Aut ἦχθη cum Reimaro in Addendis, aut ἐτέθη legendum. » — 12. G : πεφυργμένα.

R.p.916. 13. Μετὰ δὲ τοῦτο ὑπατεύσας αὖθις, τὸν μὲν τοῦ Διὸς ἱερέα ἐκώλυσεν ἐν τῷ συνεδρίῳ ὀμόσαι [1] (ἰδίᾳ γὰρ καὶ τότε, ὥσπερ ἐπὶ τοῦ Τιβερίου [2], τὸν ὅρκον ἐποιοῦντο), αὐτὸς δὲ, καὶ ἐνιστάμενος ἐς τὴν ἀρχὴν, καὶ ἀπαλλαττόμενος ἀπ' αὐτῆς, ἐξ ἴσου τοῖς ἄλλοις ἀπὸ τοῦ βήματος, ὃ δὴ καὶ μεῖζον τοῦ προτέρου ἐπεποίητο, ὤμοσε. Τριάκοντα δὲ δὴ ἡμέρας ἦρξε [3], καίτοι Λουκίῳ Ἀπρωνίῳ τῷ συνάρχοντι ἓξ μῆνας ἐπιτρέψας· καὶ αὐτὸν Σαγκουΐνιος [4] Μάξιμος πολιαρχῶν διεδέξατο. Καὶ ἔν τε ἐκείναις καὶ ἐν ταῖς ἔπειτα πολλοὶ μὲν τῶν πρώτων καταδικασθέντες (συχνοὶ γὰρ δὴ καὶ τῶν ἐκ τοῦ δεσμωτηρίου ἀφειμένων, δι' αὐτὰ ἐκεῖνα, δι' ἃ ὑπὸ τοῦ Τιβερίου ἐδέδεντο, ἐκολάσθησαν), πολλοὶ δὲ καὶ τῶν ἄλλων μονομαχήσαντες ἀπώλοντο. Καὶ ἦν ἔξω τῶν φόνων οὐδέν [5]· οὐδὲ γὰρ οὐδὲ τῷ πλήθει ἔτι τι ἐχαρίζετο, ἀλλὰ καὶ πάνυ πρὸς πάντα ὅσα ἐβούλετο ἀντέπραττε. Καὶ διὰ τοῦτο καὶ ἐκεῖνοι πᾶσι τοῖς ἐπιθυμήμασιν αὐτοῦ ἀντέσπευδον· καὶ ἦν καὶ ἀκούειν καὶ ὁρᾶν οἷα ἂν ἐν τῷ τοιούτῳ, ὁ μὲν ὀργιζόμενος, οἱ δ' ἀνταγωνιζόμενοι εἴποιεν καὶ πράξαιεν [6]. Οὐ μέντοι καὶ ἐξ ἴσου σφίσι τὸ πρᾶγμα ἐγίγνετο [7]· οἱ μὲν γὰρ ἔξω τοῦ λαλεῖν [8], ἢ καὶ τοῖς σχήμασί τι προσενδείκνυσθαι, οὐδὲν ἐδύναντο, ὁ δὲ δὴ Γάϊος συχνοὺς μὲν καὶ μεταξὺ θεωμένους κατ-

1. Fabius Pictor, cité par Aulu-Gelle (X, 15), Tite-Live, XXXI, 15, Plutarque (Questions Romaines), nous apprennent qu'il était défendu au flamine Dial de jamais prêter serment.

2. Cf. LVII, 8. — 3. Suétone, 17 : « Consulatus quatuor gessit : ... secundum ex calendis Januariis per triginta dies. » — 4. Rm., d'après

13. Ensuite, pendant un nouveau consulat, il défendit que le flamine de Jupiter jurât dans la curie (alors encore, comme sous Tibère, on jurait individuellement), et lui-même, en entrant en charge, et, ce qui est plus remarquable encore, en en sortant, jura du haut de son tribunal ni plus ni moins que les autres magistrats. Il exerça le consulat pendant trente jours, tout en accordant six mois à L. Apronius, son collègue, et eut pour successeur Maximus Sanquinius, préfet de la ville. Ces jours-là et les suivants, un grand nombre des premiers citoyens moururent condamnés (beaucoup de ceux qui avaient été relâchés furent punis pour les mêmes délits pour lesquels Tibère les avait fait jeter en prison), comme aussi un grand nombre de simples citoyens périrent dans les combats de gladiateurs. Rien n'était à l'abri des massacres; car, loin d'accorder désormais aucune faveur à la multitude, Caius se plaisait à faire tout le contraire de ce qu'elle voulait. Aussi se montrait-elle, de son côté, empressée à contrarier tous les désirs du prince; on pouvait entendre et voir ce qu'en pareilles circonstances sont capables de dire et de faire un homme en colère et une foule luttant contre lui. La partie, néanmoins, n'était pas égale entre eux : les uns n'avaient de puissance que leurs paroles ou les gestes qui exprimaient leurs sentiments; tandis que Caius faisait périr un grand nombre de ses adversaires, arrachant les uns des pla-

Tacite (Ann., V, 4 et 7, IX, 18), et les éd. subséq.; les éd. antérieures, E, G, H : Σαουϊνιος.

5. Cf. Suétone, ch. 27 et suiv.

6. Bkk. et Ddf; vulg. : πράξειεν, C : πράζειεν. — 7. C : ἐγένετο.

8. H : λαβεῖν, au lieu de λαλεῖν.

τασπῶν, συχνοὺς δὲ καὶ ἀπηλλαγμένους ἐκ τῶν θεάτρων συλλαμβάνων, ἀπώλλυεν. Αἰτίαι δὲ ἐς τὰ μάλιστα τῆς ὀργῆς αὐτῷ ἐγίγνοντο, ὅτι τε μὴ[1] σπουδῇ συνεφοίτων (ἄλλοτε γὰρ ἄλλῃ ὥρᾳ παρὰ τὰ προηγγελμένα ἀπαντῶντος αὐτοῦ, καὶ τοτὲ μὲν ἔτι[2] νυκτὸς[3], τοτὲ δὲ καὶ μετὰ μεσημβρίαν ἐς τὰ θέατρα ἐσιόντος[4], ἀποκναιόμενοι ἐκακοῦντο), καὶ ὅτι μήτε ἀεὶ πάντας τοὺς ἀρέσκοντας αὐτῷ ἐπῄνουν, καί τινας καὶ τῶν ἐναντίων ἔστιν ὅτε ἐτίμων. Καὶ προσέτι καὶ ἐπ' ἐκείνῳ δεινῶς ἠγανάκτει, ὅτι μεγαλύνοντες αὐτὸν ἐπεβόων, « Νεανίσκε Αὔγουστε »· οὐ γὰρ μακαρίζεσθαι ὅτι νέος ὢν ἐμονάρχει, ἀλλ' ἐγκαλεῖσθαι ὅτι ἐν ἐκείνῃ τῇ ἡλικίᾳ τηλικαύτην ἀρχὴν εἶχεν, ἡγεῖτο. Καὶ ταῦτα μὲν ἀεὶ ἐποίει· καί ποτε παντὶ τῷ δήμῳ ἅμα[5] ἀπειλῶν ἔφη[6], « Εἴθε ἕνα αὐχένα εἴχετε[7]· » τότε δὲ ἐπειδὴ παρωξύνθη τι οἷον εἰώθει, δυσχεράναν τὸ πλῆθος τῆς τε[8]
R. p. 917. θέας ἠμέλησε, καὶ ἐπὶ τοὺς συκοφαντοῦντας ἐτράπετο· καὶ αὐτοὺς ἐπὶ πολὺ σφοδρῶς βοῶντες ἐξῄτουν[9]. Καὶ ὃς ἀγανακτήσας, ἀπεκρίνατο μὲν σφίσιν οὐδέν, προστάξας δὲ ἑτέροις τισὶ τοὺς ἀγῶνας ποιεῖν, ἐς Καμπανίαν ἀπῆρε[10]. Καὶ μετὰ τοῦτο ἐπανελθὼν πρὸς τὰ τῆς Δρουσίλλης γενέσια[11], ἄγαλμά τε αὐτῆς ἐπ' ἐλεφάντων ἐν ἁρμάξῃ ἐς τὸν

1. Rsk. : ὅτι μήτε. — 2. G : ἔν τινι, au lieu de ἔτι.

3. Suétone, 18 : « Scenicos ludos et assidue, et varii generis, ac multifariam fecit : quondam et nocturnos, accensis tota urbe luminibus. » Cf. aussi ch. 26. — 4. I, K, St., Bkk. et Ddf; vulg. om. : τοτὲ δὲ... ἐσιόντος. On avait déjà essayé de combler la lacune de la vulgate. Oddey proposait de remplacer τοτὲ μέν par ποτὲ μέν; Rm. (*Addenda*) voulait lire : καὶ ποτὲ μέχρι νυκτός; Rsk., après νυκτός, ajoutait : τοτὲ δὲ ὄψε τῆς

ces d'où ils regardaient le spectacle, faisant saisir les autres à leur retour du théâtre. La principale cause de sa colère, c'était qu'on ne venait pas avec empressement aux spectacles (comme parfois il s'y rendait à une heure autre que celle qui avait été annoncée, et entrait au théâtre tantôt avant le jour, tantôt après midi, le peuple était fatigué de ces tracasseries), et aussi parce qu'on n'applaudissait pas constamment tous ceux qu'il aimait et que quelquefois même on leur préférait ceux qu'il haïssait. De plus, il était vivement irrité de ce que le peuple, dans les acclamations en son honneur, l'avait appelé « Jeune Auguste ; » il y voyait non une félicitation d'être arrivé jeune à l'empire, mais un reproche de ce qu'à son âge il était investi d'un si grand pouvoir. Il agissait ainsi constamment ; un jour même il dit au peuple en le menaçant tout entier à la fois : « Plût aux dieux que vous n'eussiez qu'une seule tête ! » Alors, comme il s'était livré à ses emportements habituels, la plèbe impatientée négligea le spectacle, se tourna contre les délateurs, et les réclama longtemps à grands cris. Caius, irrité, sans rien répondre à cette demande, s'en alla en Campanie, après avoir confié à d'autres le soin de célébrer les jeux. Étant ensuite revenu pour le jour natal de Drusilla, il amena la statue de la déesse dans le cirque sur un char

ἡμέρας. — 5. K, St., Bkk. et Ddf. ; vulg. om. — 6. K et Ddf. ; vulg. et Bkk. : εἶπεν. — 7. G : εἶχετο. Suétone, 30 : « Infensus turbæ faventi adversus studium suum, exclamavit : Utinam populus Romanus unam cervicem haberet. » — 8. C om. — 9. Bkk. et Ddf ; vulg. ζήτουν.

10. Quelques jours après son avénement à l'empire, Caius était déjà allé (Suétone, 14) visiter les îles de la Campanie.

11. C, G, H : γενεσίας. Sur les fêtes en l'honneur de Drusilla, cf. ch. 11.

ἱππόδρομον ἐσήγαγε, καὶ θέαν τῷ δήμῳ προῖκα ἐπὶ δύο ἡμέρας ἀπένειμε· καὶ αὐτῷ[1] τῇ μὲν προτέρᾳ ἄρκτοι, πρὸς ταῖς τῶν ἵππων ἁμίλλαις, πεντακόσιαι[2] ἐσφάγησαν, τῇ δ' ἑτέρᾳ Λιβυκὰ θηρία ἴσα ἀνηλώθη[3]· καὶ παγκρατιασταὶ ἐν πολλοῖς ἅμα τόποις ἠγωνίσαντο. Καὶ ὁ δῆμος εἱστιάθη[4], τοῖς τε βουλευταῖς ταῖς τε γυναιξὶν αὐτῶν δωρεὰ ἐδόθη[5].....

14. Ταῦτά τε ἅμα, ὡς καὶ πάνυ πενόμενος, ἐφόνευε[6], καί τινα καὶ ἕτερον τοιόνδε χρηματισμὸν ἐπεξεῦρε[7]. Τοὺς γὰρ περιγενομένους τῶν μονομάχων τοῖς τε ἄλλοις, οὐχ ὅτι τοῖς ἐθέλουσιν, ἀλλὰ καὶ πάνυ ἄκοντάς τινας βιαζόμενος[8] ἐν ταῖς ἱπποδρομίαις καὶ τὰ τοιαῦτα ποιεῖν, καὶ δὴ καὶ τοῖς ἐπ' αὐτὸ τοῦτο κληρουμένοις ὅτι μάλιστα (δύο γὰρ στρατηγοὺς[9] ἐς τοὺς ὁπλομαχικοὺς ἀγῶνας, ὥσπερ ποτὲ ἐγίγνετο[10], λαγχάνειν ἐκέλευσε[11]), πάντως[12] ἐπιτιμῶν ἀπεδίδοτο[13]· αὐτός τε ἐπὶ τοῦ πρατηρίου καθεζόμενος[14], καὶ αὐτὸς ὑπερβάλλων[15]. Πολλοὶ δὲ καὶ ἄλλοθεν

1. i : αὐτοῦ ; Rsk. : αὐτῶν. — 2. Xph., Bkk. et Ddf; vulg. : πεντακόσιοι. — 3. C : ἀνειλώθει (*sic*). — 4. Cf. Suétone, 18.

5. Xld., le premier, a signalé ici une lacune qui n'est indiquée dans aucun ms. ni dans Bkk.

6. Rsk. : ἐπρασσε, *exegit*, au lieu de ἐφόνευε ; Faber : ἐφόδευε, mais sans soupçonner de lacune.

7. K et Ddf, leçon confirmée par Peir.; vulg. et Bkk. : προσεπεξεῦρε ; I : προσεξεῦρε ; Peir. : Ὅτι πρὸς τοῖς ἄλλοις κακοῖς καὶ φόνοις ὁ Γάϊος τοιόνδε χρηματισμὸν ἐπεξεῦρε.

8. K et Ddf; vulg. et Bkk. : καὶ τοὺς πάνυ ἄκοντας βιαζόμενος. Peir. : ἀκούοντας, au lieu de ἄκοντας.

9. Peir. om. : βιαζόμενος... στρατηγούς.

10. Nous avons vu, LIV, 2, que le soin des jeux et des spectacles était,

tiré par des éléphants et donna pendant deux jours un spectacle gratuit au peuple: le premier jour, il y eut, outre les courses de chevaux, cinq cents ours égorgés; le second, un pareil nombre de bêtes de Libye mises à mort; il y eut aussi, dans plusieurs endroits à la fois, des combats au pancrace. Le peuple fut convié à un banquet, les sénateurs et leurs femmes reçurent des présents.....

14. Il commit tous ces meurtres à la fois, comme réduit à la dernière pauvreté, et imagina un autre moyen que voici de se procurer de l'argent. Il vendait à un prix tout à fait exorbitant les gladiateurs qui survivaient aux consuls, aux préteurs et aux autres citoyens, non-seulement lorqu'ils y étaient consentants, mais même en imposant, dans les jeux du cirque, à quelques-uns, qui s'y refusaient absolument, l'obligation de ce marché, surtout à ceux que le sort se trouvait avoir désignés pour cela (deux préteurs, d'après son ordre, tirèrent, comme cela se pratiquait autrefois, à qui donnerait les combats de gladiateurs), se tenant lui-même assis devant la haste, poussant lui-même les enchères. Une foule de per-

d'après une ancienne coutume, dans les attributions des préteurs. Peir. om. : ὥσπερ ποτὲ ἐγίγνετο.

11. Rsk. : « Videtur turbatus locus et sic digerendus esse : βιαζόμενος καὶ δὴ καὶ τοῖς ἐπ' αὐτὸ τοῦτο κληρουμένοις ὅτι μάλιστα (δύο γὰρ στρατηγοὺς ἐς τοὺς ὁπλομαχικοὺς ἀγῶνας ἐν ταῖς ἱπποδρομίαις καὶ τὰ τοιαῦτα ποιεῖν, ὥσπερ ποτὲ ἐγίγνετο, λαγχάνειν ἐκέλευσεν). — 12. Peir. : πάντως τε. Lncl. : « Aut mutandum in παντός, aut παντοίως, ut infra [c. 21] παντοίως ὠνεῖσθαι, quanquam illud ipsum vix probem. » Rsk. : πάντας.

13. Suétone, 39 : « Auctione proposita, reliquias omnium spectaculorum subjecit et venditavit..... » — 14. Peir. : καθήμενος.

15. Suétone continue : « exquirens per se pretia, et usque eo extendens, ut quidam immenso coacti quædam emere, ac bonis exuti, venas sibi inciderent. »

ἀφικνούμενοι[1] ἀντωνοῦντο αὐτοὺς, καὶ μάλισθ' ὅτι ἐπέτρεψε τοῖς βουλομένοις καὶ ὑπὲρ τὸν νόμον τῷ ἀριθμῷ τῶν μονομαχούντων χρῆσθαι[2], καὶ πολλάκις καὶ αὐτὸς ἐπεφοίτα σφίσιν· ὥσθ' οἱ[3] μὲν, καὶ δεόμενοι τῶν ἀνθρώπων, οἱ δὲ, χαριεῖσθαι[4] αὐτῷ νομίζοντες, καὶ οἵ γε πλείους, ὅσοι ἐν δόξῃ περιουσίας ἦσαν, ἀναλῶσαί[5] τι τῶν ὑπαρχόντων ἐπὶ τῇ προφάσει ταύτῃ, ὅπως πενέστεροι γενόμενοι περισωθῶσι, θέλοντες[6], μεγάλων αὐτοὺς χρημάτων ἠγόρασαν. Καίτοι[7] τοῦτο ποιήσας, ἔπειτα[8] τούς τε[9] ἀρίστους καὶ τοὺς ἐνδοξοτάτους[10] σφῶν φαρμάκῳ διέφθειρε[11]. Τὸ δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἵππων τῶν τε ἡνιόχων τῶν ἀντιστασιωτῶν ἐποίει[12]. Ἰσχυρῶς γὰρ τῷ
R.p.918. τὴν βατραχίδα[13] ἐνδύνοντι, καὶ διὰ τοῦτ' ἀπὸ[14] τοῦ χρώματος τῷ πρασίνῳ[15] καλουμένῳ, προσέκειτο· ὥστε καὶ νῦν ἔτι Γαϊανὸν ἀπ' αὐτοῦ[16] τὸ χωρίον, ἐν ᾧ τὰ ἅρματα ἦσκει, καλεῖσθαι. Καὶ ἕνα γε τῶν ἵππων, ὃν Ἰγκιτᾶτον[17] ὠνόμαζε[18], καὶ ἐπὶ δεῖπνον ἐκάλει, χρυσᾶς[19] τε αὐτῷ κρι-

1. G : ἀφικνούμενος. — 2. Suétone (César, 10) : « Cautum est de numero gladiatorum, quo ne majorem cuiquam habere Romæ liceret. »

3. Peir. : σφίσι ὥσθ' οἱ; C, H : σφίσιν ὥστε οἱ. — 4. Peir. : οἱ δὲ καὶ χαριεῖσθαι. — 5. C : ἀναλῶσθαι.

6. Bkk. et Ddf; vulg. : θέλοντες. — 7. Peir. : Καί. — 8. Peir. om.

9. Peir. om. — 10. : Peir. om. : καὶ τοὺς ἐνδοξοτάτους.

11. Suétone, 55 : « Columbo victori, leviter tamen saucio, venenum in plagam addidit, quod ex eo Columbinum appellavit. » Le même auteur cite encore, ch. 34 et 35, plusieurs exemples de sa méchanceté envieuse. — 12. Xld., Henri Étienne, et Lncl. dans son texte, indiquent ici une lacune; Lncl. l'a supprimée dans ses notes, ainsi que Rm., St., Bkk. et Ddf, d'après Xph. et l'accord unanime des mss. Oddey : « vix aliquid deesse judicat. » Xld. se fondait sur un passage de Xph. (dans Néron), où cet auteur dit qu'il y avait quatre espèces de cochers distingués

sonnes arrivant d'autres lieux achetaient ces gladiateurs, attendu surtout que Caius permit à qui voulait d'en avoir un plus grand nombre que ne l'autorisait la loi, et que souvent lui-même il se rendait au milieu d'eux ; en sorte que les uns, par besoin de gladiateurs, les autres dans la pensée d'être agréables au prince, la plupart de ceux qui passaient pour riches dans le désir de dépenser sous ce prétexte une partie de ce qu'ils possédaient, afin de mettre leur vie en sûreté en devenant plus pauvres, achetèrent à grand prix. Malgré cela, il n'en fit pas moins, dans la suite, périr par le poison ceux de ces gladiateurs qui avaient le plus d'habileté et le plus de renommée. Il fit la même chose pour les chevaux et pour les cochers de ses adversaires. Il était, en effet, si grand partisan de la faction qui portait le costume grenouille et que, pour cette raison, on appelait les Verts de la couleur de leur costume, qu'aujourd'hui encore on appelle, du nom de ce prince, Champ de Caius le lieu où cette faction exerçait ses attelages. Il allait même jusqu'à prier à souper un de ses chevaux, nommé Incitatus, à lui servir de l'orge

par les couleurs blanche, rousse, verte et bleue. — 13. Casaubon, cité par Fabricius (note 170) : « Consuetudinis fuit Græcorum et Latinorum, vestes suas nominare non de materia, sed de colore. Sic malachinam appellarunt vestem coloris malvacei, κροκωτόν sive κροκότσσαν coloris crocei vestem. Sic βατραχίς, vestis a colore ranarum sic dicta. Ille color medius inter φαιόν, sive pullum, et viridem. » Suétone, 55, parlant de Caius : « Prasinæ factioni ita addictus et deditus, ut cœnaret in stabulo assidue, et maneret. »

14. G : διὰ ταῦτ' ἀπό. — 15. C, G, K, *a*, *i* : τοῦ πρασίνου ; de plus, *i* : καλουμένου. — 16. Xph. : ἐπ' αὐτῷ [*a* : αὐτοῦ]. — 17. Bkk. et Ddf ; vulg. : Ἰγκίτατον ; C, H : Ἰγήτατον ; G : Ἐγοίτατον. Sur l'amour de Caius pour ce cheval, cf. Suétone, 55. — 18. C, G : ἐνόμιζε. — 19. St., d'après Barthius, Advers., IV, 6, p. 165, et Baumgarten-Crusius, notes sur Suétone : ἐν χρυσῷ, au lieu de χρυσᾶς.

θὰς παρέβαλλε, καὶ οἶνον ἐν χρυσοῖς ἐκπώμασι προὔπινε· τήν τε σωτηρίαν αὐτοῦ [1] καὶ τὴν τύχην ὤμνυε, καὶ προσυπισχνεῖτο καὶ ὕπατον αὐτὸν ἀποδείξειν [2]· καὶ πάντως ἂν καὶ τοῦτο ἐπεποιήκει [3], εἰ πλείω [4] χρόνον ἐζήκει.

15. Ἐς δ' οὖν τοὺς πόρους τῶν χρημάτων πρότερον μὲν ἐψήφιστο, ὅπως ὅσοι τινὰ τῷ Τιβερίῳ καταλιπεῖν ἐθελήσαντες περιῆσαν, τῷ Γαΐῳ αὐτὰ τελευτῶντες χαρίσωνται· ἵνα γὰρ δὴ [5] καὶ παρὰ τοὺς νόμους καὶ δωρήματα τοιαῦτα λαμβάνειν, ὅτι μήτε γυναῖκα τότε [6] γε μήτε παῖδας εἶχε, δύνασθαι [7] δοκῇ, δόγμα τι προέθετο [8]. Ἐν δὲ τῷ παρόντι πάσας ἁπλῶς τὰς τῶν [9] ἐν τοῖς ἑκατοντάρχοις ἐστρατευμένων οὐσίας, ὅσοι μετὰ τὰ ἐπινίκια, ἃ ὁ πατὴρ αὐτοῦ ἔπεμψεν, ἄλλῳ τινὶ αὐτὰς, καὶ μὴ τῷ αὐτοκράτορι, κατελελοίπεσαν, αὐτὸς ἑαυτῷ καὶ ἄνευ ψηφίσματος ἐσέπραξε [10]. Καὶ ἐπειδὴ μηδὲ ταῦτα ἐξικνεῖτο, τρίτην [11] τοιαύτην ἀφορμὴν ἀργυρισμοῦ ἐπενόησε. Γναῖος Δομίτιος [12] Κορβούλων βουλευτὴς [13], κακῶς ἐπὶ τοῦ Τιβερίου τὰς ὁδοὺς ἐχούσας ὁρῶν, τοῖς τε [14] ἐπιμεληταῖς αὐτῶν ἀεί ποτε ἐνέκειτο, καὶ προσέτι [15] καὶ τῇ γερουσίᾳ ὀχληρὸς ὑπὲρ αὐτῶν ἐγίγνετο. Τοῦτον οὖν παραλαβὼν, ἐπέθετο δι' αὐτοῦ πᾶ-

1. K om. — 2. Suétone, 55 : « Consulatum quoque tradilur destinasse. »
3. C : τοῦτ' ἐπεποιήκει. — 4. G : πλέω.
5. C, I, Peir., Bkk. et Ddf; vulg. : μή. — 6. Il avait répudié (ch. 12) Lollia Paulina. — 7. Rsk. croit qu'il faut ou supprimer δύνασθαι, ou voir ici une lacune. La substitution, plus haut, de δή à μή remédie à tout. — 8. Correction de Fabricius, adoptée par les éd. subséq.; vulg. et C, E, G, I : δόγματι προσίθετο; de même Peir., mais en plus προσετίθετο. Rm. : « Utrumque et δόγματι et δόγμα τι recipi posse judicat

dorée, et à lui donner à boire du vin dans des coupes d'or; de plus, il jurait par le salut et la fortune de ce cheval, et promettait même de le créer consul, chose qu'il n'aurait pas manqué de faire, s'il avait vécu plus longtemps.

15. On avait décrété, afin de se procurer de l'argent, que tous ceux qui survivaient des citoyens ayant eu l'intention de léguer quelque chose à Tibère, le donneraient en mourant à Caius; c'est lui qui proposa un sénatus-consulte à ce sujet, pour pouvoir paraître ne pas contrevenir aux lois en recevant des héritages et des legs de cette nature, vu qu'il n'avait alors ni femme ni enfants. Pour le moment, il s'appropria purement et simplement, de sa propre autorité et sans aucun décret, tous les legs faits par des centurions, depuis le triomphe de son père, à d'autres qu'à l'empereur. Comme ces moyens étaient encore insuffisants, il imagina une troisième manière de se procurer de l'argent. Un sénateur, Cn. Domitius Corbulon, voyant que, sous Tibère, les routes avaient été mal entretenues, ne cessait d'en poursuivre les curateurs, et s'était même, par ces instances, rendu odieux au sénat. Caius se servit de lui pour chercher querelle à

Leunclavius; scilicet de mendo in προσέθετο non cogitans. » — 9. Peir. om.

10. Suétone, 38 : « Testamenta primipilariuin, qui ab initio principatus Tiberii neque illum, neque se heredem reliquissent, ut ingrata rescidit. »

11. Peir. : καὶ ἄλλην, au lieu de τρίτην.

12. G : Δομέτιος. — 13. C, G : Κουρβούλων, ici et plus bas; Peir. : Κουρβούλων γάρ τις βουλευτής, au lieu de Γναῖος Δομίτιος Κορβούλων βουλευτής. Sur ce personnage, cf. Tacite, Ann., III, 14. — 14. Peir. om.

15. Peir. om. : καὶ προσέτι.

σιν οὐχ ὅτι τοῖς ζῶσιν, ἀλλὰ καὶ τοῖς τεθνηκόσιν, ὅσοι ποτὲ ἐπιστάται τῶν ὁδῶν ἐγεγόνεσαν[1], καὶ χρήματα ἐς τὰς ἐπισκευὰς[2] αὐτῶν εἰλήφεσαν[3]· καὶ ἐκείνους τε[4] καὶ τοὺς ἐργολαβήσαντάς τι παρ' αὐτῶν, ὡς οὐδὲν δὴ δαπανήσαντας ἐζημίου. Ἀφ' οὗ[5] δὴ[6] ὁ Κορβούλων τότε μὲν[7] ὑπάτευσεν, ὕστερον δὲ ἐπὶ Κλαυδίου[8] αἰτίαν τε[9] ἔσχε καὶ εὐθύνθη[10]· ὁ γὰρ Κλαύδιος οὔτε τὰ ἐποφειληθέντα ἀπῄτησε, καὶ τὰ δεδομένα, τὰ μὲν ἐκ τοῦ δημοσίου, τὰ δὲ καὶ παρ' αὐτοῦ τοῦ Κορβούλωνος ἐσπράξας[11], ἀπέδωκε τοῖς ζημιωθεῖσι. Τοῦτο μὲν ὕστερον ἐγένετο[12]· τότε δ' οὗτοί τε ὡς[13] ἕκαστοι, καὶ οἱ ἄλλοι πάντες, ὡς εἰπεῖν, οἱ ἐν τῇ πόλει, τρόπον τινὰ ἀπεσυλῶντο, καὶ ἀζήμιος[14] τῶν γέ τι ἐχόντων οὐδεὶς, οὐκ ἀνὴρ, οὐ γυνὴ, ἦν. Καὶ γὰρ εἴ τινα τῶν ἀφηλικεστέρων ζῇν εἴα, ἀλλὰ πατέρας τε[15] καὶ πάππους, μητέρας τε καὶ τήθας σφᾶς ὀνομάζων, ζῶντάς τε ἐξεκαρποῦτο[16], καὶ τελευτῶντας τῶν οὐσιῶν ἐκληρονόμει.

R.p.919. 16. Μέχρι μὲν οὖν τοῦ χρόνου τούτου αὐτός τε τὸν Τιβέριον ἀεὶ καὶ πρὸς πάντας κακῶς ἔλεγε· καὶ τοῖς ἄλ-

1. G, H, I, Bkk. et Ddf; de même C, mais avec trace visible d'un η à la place du dernier ε; vulg. : ἐγεγόνεισαν.

2. K, Bkk. et Ddf; Fabricius et Rm., qui citent cette variante comme tirée de Peir. (les notes de M. Gros ne la donnent pas), la déclarent préférable à la vulg. : κατασκευάς. — 3. C, G, H, St., Bkk. et Ddf; vulg. : εἰλήφεισαν. — 4. Peir. om. — 5. Ddf; Bkk., en note : « Ἐφ' ᾧ ? an Ἀφ' οὗ? » Vulg : Ἐφ' οὗ — 6. Peir. om. — 7. Peir. om. : τότε μέν. — 8. Peir. om. : ἐπὶ Κλαυδίου. — 9. K, Bkk. et Ddf; vulg. om. — 10. H : εὐθύνη.

11. Peir. om. : οὔτε τὰ... ἐσπράξας.

tous ceux qui avaient pris soin des routes et avaient reçu de l'argent pour les réparer, et, vivants ou morts, il leur infligea une amende, à eux et à ceux qui avaient été chargés de cette entreprise sous leurs ordres, comme n'ayant rien dépensé. Corbulon, en raison de cette conduite, obtint alors le consulat, mais, plus tard, sous Claude, il fut mis en accusation et il eut à rendre ses comptes. Claude, en effet, non-seulement ne réclama pas les sommes dues, mais, de plus, il restitua, partie aux dépens du trésor public, partie aux dépens de Corbulon lui-même, les sommes payées par ceux qui avaient encouru l'amende. Mais cela n'eut lieu que plus tard ; pour le moment, chacun d'eux, et, pour ainsi dire, tous les autres habitants de Rome furent en quelque sorte dépouillés, et aucun, du moins de ceux qui possédaient quelque fortune, ne fut à l'abri de ces exactions, homme ou femme. Car, s'il laissait la vie à quelques gens d'un âge avancé, Caius, en leur donnant les noms de pères, de mères et d'aïeuls, prélevait, de leur vivant, le revenu de leurs biens, et, après leur mort, s'emparait de leur héritage.

16. Jusque-là il avait toujours mal parlé de Tibère en toute circonstance et devant tous ; loin de punir, soit

12. Peir. om. : τοῦτο μὲν ὕστερον ἐγένετο. — 13. Peir. om. : τότε... οὖν ὡς.

14. H : ἀζημίως. — 15. Bkk., en note, comme conjecture : γε.

16. G, H, I, K, Bkk. et Ddf ; vulg. : ἐκαρπεῦτο. Suétone, 38 : « [Testamenta] ceterorum, ut irrita et vana, rescidit, quoscumque quis diceret herede Cæsare mori destinasse. Quo metu injecto, quum jam et ab ignotis inter familiares, et a parentibus inter liberos palam heres nuncuparetur, derisores vocabat, quod post nuncupationem vivere perseverarent, et multis venenatas macteas misit. »

λοις τοῖς κακηγοροῦσιν[1] αὐτὸν καὶ ἰδίᾳ καὶ δημοσίᾳ οὐκ ἐπετίμα[2] ἀλλὰ καὶ ἔχαιρε· τότε δὲ ἐσελθὼν ἐς τὸ βουλευτήριον, πολλὰ μὲν ἐκεῖνον ἐπῄνεσε· πολλὰ δὲ καὶ τῆς γερουσίας τοῦ τε δήμου κατηγόρησεν[3], ὡς οὐκ ὀρθῶς αὐτὸν ψεγόντων[4]. « Ἐμοὶ μὲν γὰρ, ἔφη, αὐτοκράτορι ὄντι καὶ τοῦτο ποιεῖν ἔξεστιν, ὑμεῖς δὲ δὴ οὐ μόνον ἀδικεῖτε, ἀλλὰ καὶ ἀσεβεῖτε[5] πρὸς τὸν ἄρξαντά ποτε ὑμῶν οὕτω διακείμενοι. » Κἀκ τούτου καθ' ἕκαστον τῶν ἀπολωλότων ἐπεξιὼν, ἀπέφαινεν, ὡς[6] γε ἐδόκει, τοὺς βουλευτὰς αἰτίους τοῦ ὀλέθρου τοῖς πλείστοις αὐτῶν γεγονότας· τοὺς μὲν, ὅτι κατηγόρησαν σφῶν, τοὺς δὲ, ὅτι κατεμαρτύρησαν· πάντας δὲ, ὅτι κατεψηφίσαντο. Καὶ ταῦτά τε ὡς ἐξ αὐτῶν ἐκείνων τῶν γραμμάτων ἃ καταπεπρηκέναι ποτὲ ἔφη[7], ἐπανέγνω διὰ τῶν ἀπελευθέρων· καὶ προσεπεῖπεν ὅτι « Εἰ καί τι ὁ Τιβέριος ἠδικήκει, οὐκ ὠφείλετε αὐτὸν ζῶντα τετιμηκέναι[8]· οὐ[9] μὰ Δί' οὐκ ἐφ' οἷς καὶ εἴπατε πολλάκις καὶ ἐψηφίσασθε, μεταβάλλεσθαι[10]. Ἀλλ' ὑμεῖς καὶ ἐκεῖνον ἐμπλήκτως μετεχειρίσασθε[11], καὶ τὸν Σηϊανὸν[12] φυσήσαντες καὶ διαφθείραντες ἀπεκτείνατε,

1. C, G, St., Bkk. et Ddf; vulg. : κατηγοροῦσιν.

2. G : ἐπιτίμη (*sic*). — 3. K, St., Bkk. et Ddf; vulg. om. : πολλὰ δὲ... κατηγόρησεν.

4. Lncl. : « Vix dubitem a Dione scriptum αὐτῶν ψεγόντων. Subjicit enim, ἐμοὶ μὲν γάρ, quod ad illud αὐτῶν, scil. βουλευτῶν, respicit. »

5. Bkk. et Ddf, d'après les *Excerpta Vaticana;* vulg. om. : ἀλλὰ καὶ ἀσεβεῖτε. Xld. avait déjà fait remarquer que, si le οὐ n'était pas de trop, il devait y avoir quelque chose de passé; Lncl. se contentait de lire μόνον οὐκ ἀδικεῖτε, *tantum non injuste agitis*, paroles trop douces, comme le fait remarquer Rm., dans la bouche d'un homme comme Caius.

en son nom privé, soit au nom de l'État, les censures dirigées contre lui, il y prenait plaisir au contraire; mais alors, étant entré dans le sénat, il se répandit en éloges sur ce prince et en accusations contre les blâmes injustes, à son avis, tant du sénat que du peuple. « Moi, dit-il, qui suis empereur, il m'est permis de le faire; mais vous, non-seulement vous commettez une injustice, mais encore une impiété, en montrant de tels sentiments envers celui qui a été autrefois votre chef. » Passant ensuite en revue chacun de ceux qui avaient péri sous son règne, il fit voir, à ce qu'il lui semblait du moins, que les sénateurs avaient causé la perte de la plupart d'entre eux; les uns par des accusations, les autres par de faux témoignage, tous parce qu'ils avaient rendu les décrets de condamnation. Ces reproches, puisés dans ces mêmes écrits qu'il avait autrefois, disait-il, brûlés, furent lus par ses affranchis; puis il ajouta : « Si donc Tibère a commis quelque injustice, vous ne deviez, ni, de son vivant, le combler d'honneurs, ni, par Jupiter! changer d'avis sur des choses souvent dites et décrétées par vous. C'est vous qui avez tenu envers lui une conduite insensée, et qui avez tué Séjan en le corrompant par

Enfin, Rsk. ajoute une phrase tout entière après διακείμενοι. — 6. G : ἀπέφαινε [C : ἀπέφηνε, et, en marge : ἀπέφαινε] ὡς.

7. Rsk. : ἔφη, ἐλέγξων, addition inutile. Sur ces lettres, cf. ch. 4, et, sur les reproches de Caius au sénat, à propos de Tibère, Suétone, 30.

8. Rsk. : ἠδικήκει, ὠφείλετε αὐτὸν ζῶντα οὐ τετιμηκέναι, sans nécessité.

9. Rm. voudrait remplacer ce premier οὐ par ἤ.

10. C : μεταβάλλασθαι (*sic*).

11. C, G : μετείσασθαι.

12. C : Σιανόν, constainment.

ὥστε δεῖ[1] καὶ ἐμὲ μηδὲν χρηστὸν παρ' ὑμῶν[2] προσδέχεσθαι. » Τοιαῦτα ἅττα[3] εἰπὼν, αὐτὸν δὴ τὸν Τιβέριον τῷ λόγῳ παρήγαγε, λέγοντά οἱ, ὅτι « Καὶ καλῶς καὶ ἀληθῶς πάντα ταῦτα εἴρηκας· καὶ διὰ τοῦτο μήτε φιλήσῃς τινὰ αὐτῶν, μήτε φείσῃ[4] τινός. Πάντες τε γὰρ μισοῦσί σε[5], καὶ πάντες ἀποθανεῖν εὔχονται· καὶ φονεύσουσί γε[6], ἂν δυνηθῶσι[7]. Μήτ' οὖν ὅπως τι χαρίσῃ πράξας αὐτοῖς ἐννόει, μήτ' ἄν τι θρυλῶσι, φρόντιζε, ἀλλὰ τό τε ἡδὺ καὶ τὸ ἀσφαλὲς τὸ σεαυτοῦ μόνον, ὡς καὶ δικαιότατον, προσκόπει. Οὕτω μὲν γὰρ οὔτε τι πείσῃ κακὸν, καὶ πάντων τῶν ἡδίστων ἀπολαύσεις· καὶ προσέτι καὶ τιμηθήσῃ ὑπ' αὐτῶν, ἄν τ' ἐθέλωσιν, ἄν τε καὶ μή· ἐκείνως δὲ, ἔργῳ μὲν οὐδὲν ὀνήσει[8], λόγῳ[9] δὲ δὴ[10] δόξαν κενὴν λαβὼν, οὔτε τι πλέον ἕξεις, καὶ ἐπιβουλευθεὶς, ἀκλεῶς τελευτήσεις. Οὐδεὶς γὰρ ἀνθρώπων ἑκὼν ἄρχεται, ἀλλ' ἐφ'[11] ὅσον μὲν φοβεῖται, θεραπεύει τὸν ἰσχυρότερον· ὅταν δὲ δὴ θαρσήσῃ[12], τιμωρεῖται τὸν ἀσθενέστερον. » Γάϊος μὲν, ταῦτά τ' εἰπὼν[13], καὶ τὰ τῆς ἀσεβείας ἐγκλήματα ἐπαναγαγὼν[14], ἔς τε στήλην αὐτὰ χαλκῆν εὐθὺς[15] ἐγγραφῆναι ἐκέλευσε, καὶ ἐκ τοῦ βουλευτηρίου σπουδῇ ἐξεπήδησεν, ἔς τε τὸ προάστειον αὖ-

1. C, G : δή. — 2. Rm., d'après Xph., St., Bkk. et Ddf; Lncl., sans songer à Xph., avait déjà proposé cette correction, mais il ne l'avait pas adoptée. Vulg. : παρ' ἐμοῦ; Rsk. : περὶ ἐμοῦ.

3. Bkk. : Τοιαῦτ' ἅττα, — 4. G : φείσῃς. — 5. Bkk. et Ddf; vulg. om.

6. C, G, H om. : πάντες ἀποθανεῖν... φονεύουσί γε.

7. Bkk. et Ddf; vulg. : δυνηθῶσί σε. — 8. Ddf., d'après K, où on lit οὐδὲν νομίσει; vulg. et Bekk. : οὐδὲν λήψῃς.

9. Correction de Robert Étienne, reçue par les éd. subséq., pour ἔργῳ

l'orgueil dont vous l'avez enflé ; ce qui ne me laisse rien de bon à espérer de vous. » A la suite de ces paroles, il introduisit Tibère, qui lui disait : « Tout ce que tu as dit est juste et vrai ; ainsi donc, point d'amitié, point de compassion pour aucun d'eux. Tous te haïssent, tous souhaitent ta mort ; ils te tueront, s'ils le peuvent. Ne songe pas non plus à rien faire pour leur être agréable, et ne t'inquiète pas de leurs propos ; regarde ton plaisir et ta sûreté comme la suprême justice. De la sorte, tu n'éprouveras aucun mal et tu jouiras de tous les plaisirs ; en outre, tu seras honoré d'eux, qu'ils le veuillent ou qu'ils ne le veuillent pas. Si tu agis autrement, il ne t'en reviendra rien en réalité ; tu recueilleras, en apparence, une vaine gloire qui ne te procurera aucun avantage, et tu périras ignominieusement victime de leurs complots. Aucun homme, en effet, ne se laisse volontairement commander : tant qu'il craint, il révère celui qui est plus fort que lui ; croit-il que son chef est le plus faible, il se venge de lui. » Caius, après avoir, par ce discours, ramené la coutume des accusations de lèse-majesté, le fit aussitôt graver sur une plaque de bronze, et sortit précipitamment de la curie ; puis, le même jour, il se retira

répété, qui est dans E et dans G. — 10. K, Bkk. et Ddf ; vulg. om.

11. H, I, K, Xph, Bkk. et Ddf ; vulg. om.

12. G : θαρσήσει. — 13. Ddf ; Bkk. : ταῦτά τε εἰπών ; vulg. : ταῦτα εἰπών ; G et Xph. : ταῦτ' εἰπών.

14. Il avait aboli (ch. 4 et 6) la loi de majesté, il la rétablit en ce moment en ajoutant à ses rigueurs. Cf. Suétone, 27.

15. Lncl., d'après la version de Xld., voudrait lire αὖθις, au lieu de εὐθύς.

θημερὸν ἐξώρμησεν. Ἡ δὲ δὴ γερουσία καὶ ὁ δῆμος ἐν δέει
R.p.920. μεγάλῳ ἐγένοντο, τῶν τε κακηγοριῶν ἅμα[1], ἃς κατὰ τοῦ Τιβερίου πολλάκις ἐπεποίηντο ἀναμιμνησκόμενοι[2], καὶ οἷα ἀνθ' οἵων ἠκηκόεσαν αὐτοῦ λέγοντος ἐκλογιζόμενοι. Καὶ τότε μὲν ὑπό τε τῆς ἐκπλήξεως καὶ ὑπὸ τῆς ἀθυμίας, οὔτε φθέγξασθαι, οὔτε τι χρηματίσαι ἠδυνήθησαν[3]· τῇ δ' ὑστεραίᾳ αὖθις ἀθροισθέντες, ἐπαίνους τε αὐτοῦ[4] πολλοὺς, ὡς καὶ[5] ἀληθεστάτου καὶ εὐσεβεστάτου ὄντος, ἐποισαντο, χάριν οἱ μεγάλην ἔχοντες ὅτι μὴ προσαπώλοντο[6]· καὶ διὰ τοῦτο καὶ τῇ φιλανθρωπίᾳ αὐτοῦ βουθυτεῖν κατ' ἔτος ἔν τε ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ταῦτα ἀνεγνώκει, καὶ ἐν ταῖς τῷ Παλατίῳ προσηκούσαις[7], εἰκόνος τε αὐτοῦ χρυσῆς ἐς τὸ Καπιτώλιον ἀναγομένης, καὶ ὕμνων ἐπ' αὐτῇ διὰ τῶν εὐγενεστάτων παίδων ᾀδομένων[8], ἐψηφίσαντο. Τά τε ἐπινίκια τὰ σμικρότερα[9], ὡς καὶ πολεμίους τινὰς νενικηκότι πέμψαι αὐτῷ ἔδωκαν[10]. Καὶ οἱ μὲν τότε τε ταῦτ' ἔγνωσαν[11], καὶ μετὰ τοῦτο κατὰ πᾶσαν, ὡς εἰπεῖν, ἀφορμὴν πάντως τι αὐτῷ προσετίθεσαν.

17. Γάϊος δὲ ἐκείνης μὲν τῆς πομπῆς οὐδὲν προετίμησεν (οὐδὲ γὰρ οὐδὲ μέγα τι ἐνόμιζεν εἶναι ἵππῳ δι' ἠπείρου διελάσαι), διὰ δὲ τῆς θαλάσσης τρόπον τινὰ διιππεῦ-

1. Lncl. veut remplacer ἅμα par ἕνεκα; Rm. le combat en faisant dépendre toute la phrase du participe ἐκλογιζόμενοι, explication fort naturelle, mais que rend inutile l'insertion (cf. la note suiv.) de ἀναμιμνησκόμενοι.

2. K, St., Bkk. et Ddf; vulg. om. — 3. Xph. : ὑπ' ἐκπλήξεως καὶ ὑπὸ δέους οὐδὲ φθέγξασθαι ἠδυνήθησαν. — 4. H : αὐτῶν.

5. G, Bkk. et Ddf; vulg. : καὶ ὡς. — 6. Xph. : προαπώλοντο.

esset Lepidi et Gætulici conjuratio, missus in Germaniam inter legatos ad gratulandum, etiam vitæ periculum adiit, indignante ac fremente Caio, patruum potissimum ad se missum, quasi ad puerum regendum ; ad se, ut non defuerint, qui traderent, præcipitatum quoque in flumen sicut vestitus advenerat. Atque ex eo nunquam non in senatu novissimus consularium sententiam dixit, ignominiæ causa post omnes interrogatus... »

9. Com. — 10. Cf. LX, 2, et Suétone, Claude, 38.

11. Lncl.; vulg., Bkk. et Ddf : πολλά τι ἐψηφίσθαι ; Rsk. : « Aut τι delendum, aut πολλὰ προσεψηφίσθαι ; » Bkk. reproduit en note la dernière conjecture. — 12. Lncl., en marge : γε. — 13. Bkk., en note, comme conjecture : καὶ χρήμασι σφᾶς ἐτίμησεν, ἀφ' ὧν.

μήθη. Καὶ τοῦτο μὲν ὕστερον ἐγένετο. Τότε δὲ ἐκβαλὼν
R.p.928. τὴν Παυλῖναν[1], προφάσει μὲν ὡς μὴ τίκτουσαν, τὸ δ' ἀληθὲς ὅτι διακορὴς αὐτῆς ἐγεγόνει, Μιλωνίαν Καισωνίαν ἔγημεν[2]· ἣν πρότερον μὲν ἐμοίχευε, τότε δὲ καὶ γαμετὴν ποιήσασθαι ἐθέλησεν, ἐπειδὴ ἐν γαστρὶ ἔσχεν, ἵνα αὐτῷ παιδίον τριακονθήμερον τέκῃ[3]. Οἱ δὲ ἐν τῇ Ῥώμῃ, ἐταράττοντο μὲν καὶ ἐκ τούτων, ἐταράττοντο δὲ καὶ ὅτι δίκαι σφίσιν ἐπί τε τῇ πρὸς τὰς ἀδελφὰς αὐτοῦ καὶ ἐπὶ τῇ πρὸς τοὺς πεφονευμένους[4] φιλίᾳ πολλαὶ ἐπήγοντο, ὡς καὶ ἀγορανόμους στρατηγούς τέ τινας ἀναγκασθῆναι τὴν ἀρχὴν ἀπειπόντας κριθῆναι. Κἀν τούτῳ καὶ ὑπὸ καυμάτων ἐταλαιπώρησαν· τοσαύτη γὰρ ὑπερβολὴ αὐτῶν ἐγένετο, ὥστε καὶ παραπετάσματα ὑπὲρ τῆς ἀγορᾶς ὑπερταθῆναι[5]. Ἐν τούτοις[6] τοῖς τότε φεύγουσι καὶ ὁ Τιγελλῖνος[7] ὁ Σωφόνιος[8], ὡς καὶ τὴν Ἀγριππίναν[9] μεμοιχευκὼς, ἐξέπεσεν.

24. Οὐ μέντοι ταῦθ' οὕτως αὐτοὺς ἐλύπει, ὡς τὸ προσδοκᾶν ἐπὶ πλεῖον[10] τήν τε[11] ὠμότητα τὴν τοῦ Γαΐου καὶ τὴν ἀσέλγειαν αὐξήσειν· καὶ μᾶλισθ' ὅτι[12] ἐπυνθάνοντο τόν τε Ἀγρίππαν αὐτῷ καὶ τὸν Ἀντίοχον, τοὺς βασιλέας, ὥσπερ τινὰς τυραννοδιδασκάλους, συνεῖναι[13]. Καὶ διὰ

1. Cf. ch. 12. E (corrigé par Henri Etienne et les éd. subséq.) : Παυλίαν. — 2. Cf. Suétone, 25 et 50. — 3. Ce fut une fille; Caius lui donna les noms de Julia Drusilla. Quant à la conduite du prince à cette occasion, cf. Suétone, 25 et 42. — 4. C : ἐπιφονευμένους; G : ἐφονευμένους.
5. Cf. XLIII, 24; LIII, 31, et LXIII, 6. — 6. Rsk. : « Ἐν τούτοις apte non cohæret cum præcedentibus, præter morem Dionis. Videtur aut lacuna, aut luxatum quid esse. » — 7. H : καὶ ὅτι Γελλῖνος.

veaux honneurs. Mais cela eut lieu plus tard. Pour le moment, il répudia Paulina, sous prétexte qu'elle était stérile, mais, en réalité, parce qu'il était las d'elle, afin d'épouser Milonia Césonia, avec qui il avait eu d'abord un commerce adultère et dont il voulut alors faire son épouse, afin que, attendu qu'elle était grosse, elle lui donnât un enfant au bout de trente jours. Les habitants de Rome étaient tourmentés de tout cela ; ils l'étaient en outre par les procès qui leur étaient intentés à l'occasion de leurs rapports tant avec les sœurs de Caius qu'avec ceux qu'il avait fait mourir ; procès si nombreux que des édiles et des préteurs avaient été forcés d'abdiquer leur charge, pour se soumettre à un jugement. Dans le même temps, la chaleur vint se joindre à ces maux : son intensité fut si excessive qu'on alla jusqu'à couvrir le Forum de voiles. Parmi les exilés de cette époque fut Tigellinus Sophonius, banni comme ayant été l'amant d'Agrippine.

24. Mais ces misères étaient moins pénibles pour les Romains que l'attente d'un accroissement de cruauté et d'intempérance de la part de Caius, surtout parce qu'on apprit qu'il était intimement lié avec les rois Agrippa et Antiochus, comme avec des professeurs de tyrannie. Aussi, sous son troisième consulat, personne, An de Rome 793. C. César consul III sans collègue.

8. H : Σωφώνιος. Il fut, plus tard, sous Néron, préfet des cohortes prétoriennes, et le confident des débauches les plus secrètes (Tacite, Ann., XIV, 51) de ce prince.

9. G : τὴν Ἀγριππινα (*sic*).

10. Ce passage se lit ainsi dans Peir. : Ὅτι ἐλύπη (*sic*) τοὺς βουλευτὰς τὸ ἐπὶ πλεῖον. — 11. Peir. om. — 12. C : μάλιστ' ὅτι (*sic*).

13. Cf. ch. 8.

ταῦθ' ὑπατεύοντος αὐτοῦ τὸ[1] τρίτον, οὐδεὶς οὔτε τῶν δημάρχων, οὔτε τῶν στρατηγῶν ἀθροῖσαι τὴν γερουσίαν ἐτόλμησε· συνάρχοντα γὰρ, οὔ τι[2] καὶ ἐπιτηδεύσας, ὥσπερ οἴονταί τινες, ἀλλὰ τοῦ μὲν προαποδεδειγμένου τελευτήσαντος, ἑτέρου δὲ μηδενὸς δι' ὀλίγου οὕτως ἐν τῇ ἐκδημίᾳ[3] αὐτοῦ ἀντικαταστῆναι δυνηθέντος, οὐδένα ἔσχε[4]. Καὶ ἔδει μέν που τοὺς στρατηγοὺς, οἷς[5] τὰ τῶν ὑπάτων ἔργα, ὁπόταν ἀποδημήσωσι, μέλει, πάντα αὐτὰ ἐπιτετελεκέναι[6]· ὅπως δὲ δὴ[7] μὴ καὶ ἀντὶ τοῦ αὐτοκράτορος δόξωσί τι πεποιηκέναι, οὐδὲν τῶν καθηκόντων ἔπραξαν, ἀλλ' ἐς τὸ Καπιτώλιον ἀθρόοι οἱ βουλευταὶ ἀναβάντες, τάς τε θυσίας ἔθυσαν, καὶ τὸν τοῦ Γαΐου δίφρον τὸν ἐν τῷ ναῷ κείμενον προσεκύνησαν[8], καὶ ἔτι καὶ ἀργύριον, κατὰ τὸ ἐπὶ τοῦ Αὐγούστου ἔθος ἰσχύσαν, ὡς καὶ αὐτῷ ἐκείνῳ διδόντες, κατέθεσαν[9]. Καὶ τοῦτο μὲν καὶ τῷ[10] ἑξῆς ἔτει ὁμοίως ἐγένετο· τότε δὲ συνῆλθον μὲν μετὰ ταῦτα ἐς τὸ συνέδριον, μηδενὸς σφᾶς ἀθροίσαντος, ἔπραξαν δὲ οὐδὲν, ἀλλ' ὅλην τὴν ἡμέραν ἔν τε τοῖς ἐπαίνοις αὐτοῦ καὶ ἐν ταῖς ὑπὲρ αὐτοῦ εὐχαῖς κατέτριψαν[11]· ἐπειδὴ γὰρ οὔτε ἐφίλουν αὐτὸν, οὔτε σώζεσθαι ἐβούλοντο, ἐπὶ πλεῖον

1. C om. — 2. Henri Étienne, Lncl., Rm., St. et Ddf; C, G, E et Bkk.: οὗτοι; H : σῦτοι. — 3. Rsk., Bkk. et Ddf; vulg. et les mss. : ἐκκλησίᾳ. Cf. la note suivante. — 4. Suétone : « Tertium [consulatum] Lugduni iniit solus; non, ut quidam opinantur, superbia negligentiave, sed quod defunctum sub calendarum diem collegam rescisse absens non potuerat. »

5. H : οὗ. — 6. Les préteurs, dit Messala dans Aulu-Gelle, XIII, 15, étaient les collègues des consuls, et nommés d'après les mêmes auspices.

7. Com. — 8. Le siége d'or avec l'image, également d'or (ch. 16), de

ni tribun ni préteur, n'osa convoquer le sénat; Caius n'avait pas de collègue, non qu'il se fût arrangé pour cela, comme quelques-uns le croient, mais parce que, celui qui avait été désigné étant mort, il n'avait pas été possible d'en nommer en si peu de temps un autre à sa place en l'absence de Caius. Les préteurs, à qui appartient ce soin en l'absence des consuls, auraient dû s'occuper de tout cela; mais la crainte de paraître usurper les attributions de l'empereur, les empêcha de remplir aucune de leurs fonctions, et les sénateurs en foule, étant montés au Capitole, y offrirent des sacrifices, vénérèrent le siége de Caius, et, de plus, déposèrent dans le temple, suivant l'usage en vigueur du temps d'Auguste, de l'argent, comme s'ils l'eussent remis au prince lui-même. Cette cérémonie eut pareillement lieu l'année suivante. Pour la présente année, les sénateurs se réunirent après cela dans la curie, sans avoir été convoqués par qui que ce fût; ils n'y firent rien et passèrent tout le jour en éloges de l'empereur et en vœux pour sa personne; car, comme ils ne l'aimaient pas et qu'ils ne désiraient pas sa conservation, ils consacraient plus de

Caius au Capitole. — 9. Il s'agit des étrennes que Caius, dans la suite, à l'exemple d'Auguste (LIV, 35), n'hésita plus à recevoir en personne. Cf. Suétone, 42. — 10. H : τό. — 11. Sturz : « Intelliguntur calendæ Januariæ. Et pertinent huc verba Schottii Observatt. human., lib. V, c. 31, p. 246 : Vota pro salute principis suscipi fere solita a. d. III nonas, hoc est, die tertio Januarii, de quo die etiam Dion Cassius, lib. LVIII (imo LIX, nempe paulo post) ubi et calendis ipsis nonnunquam suscepta fuisse pro principe vota commemorat. »

R.p.929. ἀμφότερα, ὡς καὶ τὸ συνειδὸς σφῶν διὰ τοῦτο ἐπηλυγασόμενοι, προσεποιήσαντο. Καὶ τῇ[1] τρίτῃ δὲ ἡμέρᾳ τῇ τὰς εὐχὰς ἐχούσῃ συνῆλθον μὲν, πάντων[2] τῶν στρατηγῶν ἐκ κοινοῦ προγράμματος τὴν σύνοδον σφίσιν ἐπαγγειλάντων· ἐχρημάτισαν δὲ οὔτε τότε, οὔτε αὖθις οὐδὲν, μέχρις οὗ ὁ Γαΐος δωδεκάτῃ ἡμέρᾳ τὴν ἀρχὴν ἀπειπὼν ἠγγέλθη. Τότε γὰρ παραλαβόντες αὐτὴν οἱ ἐς τὸ ἔπειτα κεχειροτονημένοι[3], διῴκουν τὰ προσήκοντα σφίσι· καὶ ἐψηφίσθη ἄλλα τε, καὶ ἵνα τοῖς τοῦ Τιβερίου καὶ τοῖς τῆς Δρουσίλλης γενεσίοις[4] τὰ αὐτὰ ἅπερ καὶ τοῖς τοῦ Αὐγούστου γίγνηται. Καί τινα καὶ οἱ ἐκ τῆς ὀρχήστρας ἄνδρες[5] πανήγυρίν τε ἐπετέλεσαν, καὶ θέαν παρέσχοντο, καὶ εἰκόνα τοῦ τε[6] Γαΐου καὶ τῆς Δρουσίλλης στήσαντες ὠσίωσαν. Ταῦτα δὲ ἐξ ἐπιστολῆς που τῆς[7] τοῦ Γαΐου ἐπράχθη· καὶ γὰρ τἄλλα ὅσα χρηματίζεσθαι ἐβούλετο, ὀλίγα μὲν πᾶσι τοῖς βουλευταῖς, τὰ δὲ δὴ πλείω τοῖς ὑπάτοις γράφων, καὶ ἐκεῖνα ἔστιν ὅτε ἐν τῷ συνεδρίῳ ἀναγιγνώσκεσθαι ἐκέλευε. Καὶ οἱ μὲν ταῦτ' ἔπραττον[8].

25. Γαΐος δὲ ἐν τούτῳ τόν τε Πτολεμαῖον τὸν τοῦ Ἰόβα[9] παῖδα μεταπέμψας, καὶ μαθὼν ὅτι πλουτεῖ, ἀπέ-

1. K, St., Bkk. et Ddf; vulg. om. — 2. C om.

3. D'un passage de Cassiodore, Onufrius conclut que les consuls subrogés à Caius, aux ides de janvier, furent L. Gellius Publicola et M. Coccéius Nerva.

4. I, K, Bkk. et Ddf; H : γενεσίαις; vulg. : γενεθλίοις. Sur les fêtes célébrées le jour natal de Drusilla, cf. ch. 11 et 13.

5. I, K et Ddf; vulg. et Bkk. om.

6. C om.

temps à témoigner leur amour et leurs vœux dans l'intention de dissimuler leur pensée intime. Le troisième jour, qui était consacré aux prières, on se réunit en vertu d'une convocation faite par tous les préteurs en commun, mais sans prendre aucune résolution ni alors, ni plus tard, jusqu'à ce que, le douzième jour, on annonça que Caius avait abdiqué le consulat. Pour lors, les consuls désignés pour lui succéder, étant entrés en charge, en accomplirent les fonctions : on décréta, entre autres choses, que le jour natal de Tibère et celui de Drusilla seraient célébrés comme celui d'Auguste. La société de l'orchestre célébra des jeux et donna un spectacle pour la dédicace d'une statue de Caius et de Drusilla, élevée en leur honneur. Tout cela se faisait en vertu d'une lettre de Caius; car, toutes les fois qu'il voulait faire décréter une mesure, il en écrivait quelques mots au sénat en corps, la plus grande partie aux consuls; parfois même il donnait ordre de lire sa lettre dans la curie. Voilà ce que fit la société de l'orchestre.

25. Sur ces entrefaites, Caius, ayant mandé Ptolémée, fils de Juba, et appris qu'il était riche, le fit mourir,

7. H om. — 8. G, H, I et Ddf; vulg. et Bkk. : ταῦτα ἐπραττον.

9. H, K et Bkk.; vulg. et Ddf : Ἰόβου. Il est ici question de Ptolémée, fils de Juba, roi des deux Mauritanies, à qui Auguste (LI, 15) avait rendu le royaume paternel en lui faisant épouser Séléné, fille d'Antoine et de Cléopâtre. Suétone, 35 : « Ptolemæum exceptum honorifice, non alia de causa repente perculit, quam quod, edente se munus, ingressum spectacula, convertisse hominum oculos fulgore purpuræ abollæ animadvertit. »

κτεινε, καὶ[1] ἄλλους πολλοὺς μετ' αὐτοῦ· ὅτε καὶ[2] ἐς τὸν Ὠκεανὸν ἐλθὼν, ὡς καὶ ἐν τῇ Βρεττανίᾳ[3] στρατεύσων, καὶ πάντας τοὺς στρατιώτας ἐν τῇ ἠϊόνι[4] παρατάξας, τριήρους τε ἐπέβη, καὶ ὀλίγον ἀπὸ τῆς γῆς ἀπάρας, ἀνέπλευσε· καὶ μετὰ τοῦτο ἐπὶ βήματος ὑψηλοῦ ἱζήσας, καὶ σύνθημα τοῖς στρατιώταις ὡς ἐς μάχην δοὺς, τοῖς τε σαλπιγκταῖς ἐξοτρύνας αὐτοὺς, εἶτ' ἐξαίφνης ἐκέλευσε σφίσι τὰ κογχύλια συλλέξασθαι. Λαβών τε τὰ σκῦλα ταῦτα (καὶ γὰρ λαφύρων δῆλον ὅτι πρὸς τὴν τῶν ἐπινικίων πομπὴν ἐδεῖτο), μέγα τε ἐφρόνησεν, ὡς καὶ τὸν Ὠκεανὸν αὐτὸν δεδουλωμένος, καὶ τοῖς στρατιώταις πολλὰ ἐδωρήσατο. Καὶ ὁ μὲν ἐς τὴν Ῥώμην τὰ κογχύλια ἀνεκόμισεν, ἵνα καὶ ἐκείνοις τὰ λάφυρα δείξῃ· ἡ δὲ βουλὴ οὔθ' ὅπως ἐπὶ τούτοις ἡσυχάζοι εἶχεν, ὅτι μεγαλοφρονούμενον αὐτὸν ἐπυνθάνετο, οὔθ' ὅπως αὐτὸν ἐπαινέσειεν· ἂν γάρ τις ἐπὶ μηδεμιᾷ[5] ἢ μικρᾷ τινι ἀνδραγαθίᾳ ἤτοι ἐπαίνους μεγάλους ἢ καὶ τιμὰς ἐξαισίους ποιῆται[6], διαμωκᾶσθαί[7] τε καὶ διασιλλοῦν αὐτὴν ὑποπτεύεται. Ὅμως ἐσελθὼν ἐς τὴν πόλιν, τὴν μὲν[8] βουλὴν ὀλίγου ἐδέησεν ἀπολέσαι πᾶσαν,
R.p. 930. ὅτι μὴ τὰ ὑπὲρ ἄνθρωπον αὐτῷ ἐψηφίσατο[9]· τὸν δὲ

1. Après ces mots ἀπέκτεινε καί, il y a, dans K, une lacune qui ne finit qu'au ch. 2 du livre suivant. Depuis ἐς τὸν Ὠκεανόν, presque tout est emprunté à Xiphilin, comme le prouvent les nombreuses insertions tirées de Peiresc et les *Excerpta Vaticana*. Bkk. voudrait (s'appuyant sur LX, 21) lire πρὸς Ὠκεανόν, au lieu de ἐς τὸν Ὠκεανόν. — 2. Ddf croit les mots ἄλλους ὅτε καί ajoutés par les éditeurs pour établir une liaison; cependant ils se lisent dans les autres mss.

3. Sur cette expédition, cf. Suétone, 46; Orose, VII, 5. Rsk. voudrait :

lui et plusieurs autres; dans le même temps encore, s'étant avancé vers l'Océan, sous prétexte d'une expédition en Bretagne, et ayant rangé tous ses soldats en bataille sur le bord de la mer, il monta sur une trirème, et, après s'être un peu éloigné de la terre, revint au rivage; ensuite, après avoir, d'une tribune élevée où il était assis, donné, comme pour un combat, le mot à ses soldats et les avoir animés par le son des trompettes, il leur ordonna tout à coup de ramasser des coquilles. Chargé de ce butin (il avait évidemment besoin de dépouilles pour la pompe de son triomphe), il se montra plein de fierté, se vantant d'avoir asservi l'Océan lui-même, et fit de grandes largesses à son armée. Il rapporta les coquilles à Rome pour que le peuple, à son tour, vît les dépouilles qu'il avait conquises; le sénat, de son côté, instruit des grandes prétentions du prince, ne savait s'il devait, à cette occasion, ou demeurer dans le silence, ou lui décerner des éloges; car accorder de grands éloges et des honneurs exagérés pour des exploits nuls ou médiocres, c'est en faire une moquerie et une censure. Néanmoins Caius, à son entrée dans Rome, faillit faire périr le sénat tout entier, pour ne pas lui avoir décrété des honneurs plus qu'humains;

ἐπὶ τὴν Βρεττανίαν; mais *i* confirme la vulgate: ἐν Βρετανίᾳ (*sic* Βρεττανίᾳ).

4. Les éd. de Xph : Οὐτόνι; *a* : ἠϊόνι; C, G, H : λόνι.

5. Les éd. de Xph. : μιᾷ; *k* et *m* : μηδεμιᾷ; *i* : μηδὲ μιᾷ; C, G : ἐπιδεμιᾶ. — 6. H : ποιῆσαι. — 7. C : διακωμιάσθαι. — 8. C : πόλιν καὶ τὴν μέν. — 9. Suétone, 48 : « Confestim urbem petiit, deflexa omni acerbitate in senatum, cui... palam minitabatur, querens, inter cetera, fraudatum se justo triumpho, quum ipse paulo ante [Dion, ch. 23], ne quid de honoribus suis ageretur, etiam sub mortis pœna denuntiasset. »

δῆμον ἀθροίσας, πολὺ μὲν ἀργύριον ἐκ μετεώρου τινὸς, πολὺ δὲ χρυσίον ἔῤῥιψε[1], καὶ πολλοὶ δὲ ἀπώλοντο διαρπάζοντες· σιδήρια γὰρ μικρὰ ἅττα αὐτοῖς, ὥς φασί τινες, ἀναμέμικτο. Βετιλλῖνον δὲ Κάσσιον[2] ἀποσφαγῆναι κελεύσας, καὶ τὸν πατέρα αὐτοῦ Καπίτωνα παρεῖναι φονευομένῳ αὐτῷ κατηνάγκασε, μήτ' ἀδικοῦντά τι, μήτ' ἐσηγγελμένον[3]. Πυθομένου τε αὐτοῦ εἰ μῦσαί γέ οἱ ἐπιτρέπει, προσέταξε καὶ ἐκεῖνον σφαγῆναι[4].

1. Cf. Suétone, 26; Sénèque, de la Colère, III, 20. — 2. *i*, *k* : Βετελῖνον [H. I : Μετιλλῖνον] Κάσσον [de même C]. « Βεκιλλῖνον utrimque, dit Rm., scribendum esse suspicabatur Xylander, quod apud Cic. Becillinum appellatur. *Cassium Melinum*, Blancus. » Fabricius (note 257 dans Rm.) réfute ceux qui seraient tentés de lire, d'après Sénèque (de la Colère, III, 18) et d'après une médaille (apud Tristanum, t. I, p. 90) : Βετιλιῆνον Βάσσον ; pour cela, il se fonde sur deux raisons : « Cassius, de quo Dio, non flagellatus nec tortus, sed occisus est. Deinde Vitellinorum sive Viscellinorum familia patricia ad Cassiam gentem pertinet, ut constat exemplo Sp. Cassii, quem Bicellinum sive Viscellinum vocat Cicero (de Amicitia, 11). Dionysii Halic. codices etiam Οὐισκελῖνον. Fortasse Cassius hic a Caio interfectus, quod sortes Antiatinæ illum ut a Cassio sibi caveret monuissent. Vide [c. 29]. » — 3. Cf. Suét., 27.

4. A. Mai, notes sur les *Excerpta Vaticana* : « Universus qui sequitur de Cereali, etc., tractus pessime habitus fuit atque truncatus in Dione edito. Sed eum germanum partim nunc Vaticanus codex exhibet, partim Zonaras, qui ambo Dionis pleno exemplari utebantur. » Τοῦτον τὸν τρόπον βιοὺς, πάντως ἐπιβουλευθήσεσθαι ἐμελλε. Καὶ ἐφώρασε τὴν ἐπίθεσιν· καὶ συλλαβὼν Ἀνίκιον [Rm. et Bekk.; vulg. : Νίκιον] Κερεάλιον καὶ τὸν υἱὸν αὐτοῦ Σέξτον Παπίνιον [Rm. et Bkk.; vulg. : Παπήνιον], ἐβασάνισε, καὶ ἐπεὶ μηδὲν ἐξελάλησεν, ἀνέπεισε τὸν Παπίνιον, σωτηρίαν αὐτῷ καὶ ἄδειαν ὑποσχόμενος, κατειπεῖν τινῶν ἢ ἀληθῶς ἢ ψευδῶς, καὶ ἐκεῖνον αὐτίκα καὶ τοὺς ἄλλους ἐν ὀφθαλμοῖς αὐτοῦ ἀπέκτεινεν. Ἑνὸς δὲ τῶν κτεινομένων καὶ τὸν πατέρα παρεῖναι κατηνάγκασε, τοῦ υἱοῦ φονευομένου· πυθόμενόν τε, εἰ μῦσαι αὐτῷ ἐπιτρέπει, καὶ ἐκεῖνον σφαγῆναι προσέταξεν. Ὁ δὲ κινδυνεύων προσεποιήσατο ἐκ τῶν βεβουλευκότων εἶναι, καὶ τοὺς λοιποὺς πάντας ἐκφῆναι ὑπέσχετο, καὶ ὠνόμασε τούς τε ἑταίρους τοὺς τοῦ Γαΐου, καὶ τοὺς συνέργους τῆς ἀσελγείας καὶ τῆς ὠμότητος. Καὶ πολλοὺς ἂν ἀπώλεσεν, εἰ μὴ καὶ τοὺς

puis, assemblant le peuple, il lui jeta d'un lieu élevé quantité d'argent et d'or, dont le pillage causa la mort de plusieurs personnes; car, au rapport de quelques historiens, on y avait mêlé de petits morceaux de fer. Ensuite, ayant livré au supplice Bétellinus Cassius, il força Capiton, son père, qui n'était ni coupable ni accusé, d'assister à l'exécution. Celui-ci ayant demandé s'il lui était au moins permis de fermer les yeux, Caius ordonna de le mettre également à mort.

ἐπάρχους [Rm. et Bkk.; vulg. : ὑπάρχους] καὶ τὸν Κάλλιστον καὶ τὴν Καισωνίαν προσδιαβαλὼν ἠπιστήθη. Καὶ ὁ μὲν ἀπέθανεν, τῷ δὲ Γαΐῳ τὸν ὄλεθρον αὐτὸ τοῦτο παρεσκεύασεν. Ἰδίᾳ γὰρ τοὺς ἐπάρχους τε καὶ τὸν Κάλλιστον προσκαλεσάμενος, « Εἷς εἰμι, ἔφη, τρεῖς δὲ ὑμεῖς, καὶ γυμνὸς μὲν ἐγὼ, ὡπλισμένοι δὲ ὑμεῖς· εἰ οὖν μισεῖτέ με, καὶ ἀποκτείνειν θέλετε, φονεύσατε. » Ἐξ ἐκείνου δὲ μισεῖσθαι νομίσας καὶ ἀχθεσθαι τοῖς πραττομένοις ἐκείνους, ὑπώπτευε σφᾶς, καὶ [Bekk.; vulg. et Rm. om. : τὸ] ξίφος κἂν τῇ πόλει παρεζώννυτο, καὶ συνέβαλλεν αὐτοὺς ἀλλήλοις, ὅπως μὴ συμφωνῶσι, κατὰ μόνας ἑκάστῳ ὡς πιστοτάτῳ διαλεγόμενος περὶ τῶν λοιπῶν, μέχρις οὗ συνέντες τὸ ἐπιχείρημα, προήκαντο αὐτὸν τοῖς ἐπιβουλεύουσιν [Rm. : ἐπιβουλεύμασι]. Zonaras.

« Une pareille vie ne pouvait manquer de faire naître une conspira-
« tion. Il découvrit le complot, et, s'étant saisi d'Anicius Céréalis, ainsi
« que de son fils Sextus Papinius, il le fit appliquer à la question; comme
« Céréalis refusait de parler, il détermina Papinius, par la promesse de
« la vie et de l'impunité, à des révélations vraies ou fausses, puis il le fit
« périr sur-le-champ sous ses yeux, ainsi que les autres complices.
« Il alla jusqu'à contraindre le père d'une de ses victimes à assister au
« supplice de son fils; et, comme celui-ci demandait s'il lui était permis
« de fermer les yeux, il donna l'ordre de le tuer également. Quant à celui
« qui était en cause, il feignit d'être du nombre des conjurés, promit de
« dévoiler tous les autres, et nomma les amis de Caius, tous les ministres
« de ses débauches et de sa cruauté. Il aurait fait périr beaucoup de per-
« sonnes, si, en accusant les préfets, ainsi que Calliste et Césonia, il ne
« ne se fût enlevé la croyance. Papinius fut mis à mort, mais ce fut
« là pour Caius un acheminement à sa perte. En effet, ayant appelé en
« particulier les préfets et Calliste : « Je suis seul, leur dit-il, et vous êtes
« trois; je suis nu, et vous, vous êtes armés. Si donc vous me haïssez,

26. Ἦν δέ τις Πρωτογένης πρὸς πάντα αὐτῷ τὰ χαλεπώτατα ὑπηρετῶν, ὥστε καὶ βιβλία ἀεὶ δύο περιφέρειν, καὶ αὐτῶν τὸ μὲν ξίφος, τὸ δὲ ἐγχειρίδιον ὀνομάζειν. Οὗτος ἐσῆλθέ ποτε ἐς τὸ συνέδριον, ὡς καὶ κατ' ἄλλο τι, καὶ πάντων, οἷα εἰκὸς, προσειπόντων τε αὐτὸν καὶ δε-

« si vous voulez ma mort, tuez-moi. » A partir de ce moment, se croyant « en butte à leur haine et à leur animadversion à cause de sa conduite, « il devint soupçonneux, ceignit l'épée, même dans Rome, et les mit aux « prises les uns avec les autres, pour empêcher leur accord, parlant à part « avec chacun d'eux sur le compte des autres comme avec un ami très- « fidèle, jusqu'au jour où, comprenant le but de ses efforts, ils l'abandon- « nèrent aux conspirateurs. »

Ὅτι ὁ αὐτὸς Γάϊος συλλαβὼν Κεριάλιον καὶ τὸν υἱὸν αὐτοῦ Παπίνιον βουλευτὰς ἐτιμωρήσατο, ὥστε ἐξειπεῖν τὰς κατ' αὐτοῦ γινομένας ἐπιβουλάς. Καὶ ὁ μὲν Κεριάλιος παντελῶς οὐδὲν εἶπεν [Bkk., seul de tous les éditeurs, marque ici une lacune et met un point, au lieu d'une virgule, après ἀνηρήθησαν], παραχρῆμα δὲ ἐπ' ὄψεσιν αὐτοῦ ἀνηρήθησαν, ἐν οἷς ἦν καὶ Βάσσος· καὶ παρεσκεύασε τὸν πατέρα αὐτοῦ, μὴ ψευδῶς κατηγορηθέντα, μηδὲ ἔγκλημα ἔχοντα, παρεῖναι, ἵνα θεάσηται τὴν [Bkk. et Ddf; Mai et St. : θεάσῃ αὐτήν; les mss. : θεάσηται αὐτόν] ἀναίρεσιν τοῦ παιδός. Πυθομένου δὲ τοῦ γέροντος, εἰ ἔξεστιν αὐτῷ μῦσαι τοὺς ὀφθαλμοὺς [correction évidente d'A. Mai pour ἀφροδισίους, donné par le ms.], ἐκέλευσε, μετὰ τὸ φονευθῆναι τούτους, κἀκεῖνον φονευθῆναι. Ὁ δὲ προσποιησάμενος ἔλεγε δικαίαν εἶναι τὴν κρίσιν τοῦ βασιλέως· ὡς ἀληθῶς γὰρ καὶ ἐκείνους καὶ ἑαυτὸν τῶν φονέων εἶναι, καὶ πολλοὺς ἄλλους εἶναι τοὺς συνειδότας ἡμῖν. Καὶ ἀπαιτηθεὶς εἰπεῖν, εἶπε πάντας τοὺς πλησίον αὐτοῦ καὶ τοῖς κακοῖς τούτοις ὑπουργοῦντας. Καὶ ἔδρασεν ἂν τὰ μέγιστα, εἰ μὴ προαχθεὶς καὶ τοὺς πάνυ γνησίους αὐτοῦ ὠνόμασεν· οὕτω [Mai, St., Bkk. et Ddf; le ms. : οὐ] γὰρ ἠπίσθη καὶ περὶ τῶν ἄλλων. Ἐκεῖνος δὲ ἀνηρήθη. A. Mai, p. 204.

« Ce même Caius s'étant saisi de Céréalis et de son fils Papinius, séna- « teurs, les fit appliquer à la torture pour les forcer à révéler les complots « tramés contre lui. Céréalis ne dit pas un mot; néanmoins les personnes « suspectes, au nombre desquelles était Bassus, furent immédiatement « livrées au supplice sous les yeux du prince. De plus, il eut soin que le « père de Bassus, qui n'était pas accusé, même mensongèrement, contre « qui ne s'élevait aucune charge, fût présent au spectacle du supplice de « son fils. Le vieillard ayant demandé si on lui permettait de fermer les « yeux, il ordonna de le mettre aussi à mort, quand les autres auraient

26. Le ministre de toutes les cruautés de Caius était un certain Protogène, qui portait sans cesse partout avec lui deux livrets, dont l'un avait nom *Épée* et l'autre *Poignard*. Ce Protogène entra un jour dans l'assemblée du sénat, comme pour un tout autre motif, et tous les

« été exécutés. Celui-ci répondit, par feinte, que la sentence du prince « était juste, que les suppliciés et lui-même aussi étaient véritablement « du nombre des meurtriers. « Nous avons, ajouta-t-il, bien d'autres « complices encore. » Sommé de les nommer, il nomma tous ceux qui « approchaient du prince et qui étaient les ministres des maux présents. « Il aurait fait les plus grandes choses, s'il ne s'était laissé aller à dénon- « cer les plus sincères amis de Caius; car il s'enleva ainsi toute confiance, « même sur le compte des autres. Quant à lui, on le mit à mort. »

Ὅτι ὁ αὐτὸς Γάϊος τόν τε ἔπαρχον [Bkk.; leçon blâmée par A. Mai, à propos de la correction faite par Rm. au texte de Zn.; vulg. : ὕπαρχον, maintenu également par Ddf] καλέσας καὶ ἄλλους δύο [Bekk. et Ddf; A. Mai et Zn. : δύω], εἰσῆλθεν ἐν χιτωνίσκῳ [le ms. : κοιτονίσκῳ], καὶ λέγει αὐτοῖς· « Ἰδοὺ ὑμεῖς τρεῖς ἐστε ὡπλισμένοι [Bkk. et Ddf; vulg. : ὁπλισάμενοι], ἐγὼ δὲ μόνος καὶ γυμνός· ἐὰν μισῆτέ με, φονεύσατέ με. » Ὡς δὲ ἐκεῖνοι εἰς τοὺς πόδας αὐτοῦ προσέπεσον καὶ παρεκάλουν μηδὲν τοιοῦτον περὶ αὐτῶν ἐννοεῖν, ἀνεχώρησε δῆθεν πεπεισμένος· πλὴν καὶ αὐτὸς ὕποπτος περὶ τὴν φιλίαν αὐτῶν διεκεῖτο· κἀκεῖνοι ἐδεδίεσαν [Van Herverden et Ddf; le ms. : ἐδεδίεσαν; A. Mai et St. : ἐδέδεισαν; Bkk. : ἐδέδισαν]· συνέκρουεν αὐτοὺς ἀλλήλοις. A. Mai, p. 205.

« Ce même Caius ayant mandé le préfet et les deux autres, se pré- « senta devant eux, vêtu d'une tunique légère, et leur dit : « Vous voilà « trois hommes armés; moi, je suis seul et nu ; si vous me haïssez, tuez- « moi. » Ceux-ci s'étant jetés à ses pieds et l'ayant conjuré de n'avoir « sur eux aucune pensée de cette sorte, il se retira, en apparence con- « vaincu, mais il conserva des dispositions à soupçonner leur amitié; « quant à eux, ils conçurent des craintes. Caius les brouilla entre eux. »

Ὅτι ὁ αὐτὸς ἐκέλευσε τὴν σύγκλητον συναχθῆναι, καὶ δῆθεν ἀμνηστίαν αὐτοῖς δέδωκεν, εἰπὼν ὀλίγους πάνυ ἔχειν οἷς ἔτι ὠργίζετο. Καὶ πᾶσι τούτοις διπλῆν ἐδίδου τὴν φροντίδα· ἕκαστος γὰρ περὶ ἑαυτοῦ ἐνενόει. Ib.

« Le même donna l'ordre de convoquer le sénat et lui accorda son « pardon, disant qu'il n'y avait plus qu'un fort petit nombre de membres « contre qui il était irrité. De la sorte, il redoubla l'inquiétude de tous, « car chacun songeait à soi. »

ξιουμένων, δριμύ τέ τι[1] Σκριβωνίῳ Πρόκλῳ ἐνεῖδε, καὶ ἔφη, « Καὶ σύ με ἀσπάζῃ, μισῶν οὕτω τὸν αὐτοκράτορα; » Ἀκούσαντες δὲ τοῦτο οἱ παρόντες, περιέσχον τε τὸν συμβουλευτὴν καὶ διέσπασαν[2].

[Ὅτι οἱ βουλευταὶ[3] καὶ πανηγύρεις τινὰς τῷ Γαΐῳ ἐψηφίσαντο· καὶ ὅπως βήματί τε ὑψηλῷ ἐν αὐτῷ[4] τῷ βουλευτηρίῳ, ὥστε μηδένα ἐξικνεῖσθαι, καὶ φρουρᾷ στρατιωτικῇ καὶ ἐκεῖ[5] χρῷτο· καὶ τοὺς ἀνδριάντας αὐτοῦ φρουρεῖσθαι ἔγνωσαν. Ἐπ' οὖν τούτοις ὁ Γάϊος ἡσθεὶς[6], τὴν ὀργὴν σφίσιν ἀφῆκε, καὶ χρηστά[7] τινα προσεγεανιεύσατο[8]· Πομπώνιον γὰρ[9] ἐπιβουλεῦσαι[10] λεχθέντα οἱ ἀπέλυσεν, ἐπειδὴ ὑπὸ φίλου προεδόθη· καὶ τὴν ἑταίραν αὐτοῦ, ὅτι βασανισθεῖσα οὐδὲν ἐξεῖπεν, οὔτε τι κακὸν ἔδρασε, καὶ προσέτι καὶ χρήμασιν ἐτίμησεν[11]. Ἐπαινούμενος οὖν διὰ ταῦτα, τὰ μὲν φόβῳ, τὰ δὲ καὶ ἐπ' ἀληθείας, καὶ]
τῶν μὲν ἥρωα, τῶν δὲ θεὸν αὐτὸν ἀνακαλούντων, δει-
R.p. 931. νῶς ἐξεφρόνησεν. Ἠξίου μὲν γὰρ καὶ πρότερον ὑπὲρ ἄνθρωπον νομίζεσθαι, καὶ τῇ Σελήνῃ συγγίγνεσθαι, καὶ ὑπὸ τῆς Νίκης στεφανοῦσθαι ἔλεγε[12]· Ζεύς τε εἶναι ἐπλάττετο, καὶ

1. Ddf. om. — 2. Cf. Suétone, 28.

3. Ce passage entre crochets a été inséré par Rm. et St., d'après Valois qui l'a tiré de Peiresc. Ils le soudent au texte de Dion, en remplaçant par une virgule le point après διέσπασαν, et en supprimant Ὅτι οἱ βουλευταί. Les autres mss., d'accord avec Xph. : Ἡσθέντος τε ἐπὶ τούτῳ τοῦ Γαΐου, καὶ φήσαντος [E : ψηφίσαντος] αὐτοῖς κατηλλάχθαι, ἐψηφίσαντο ὅπως καὶ βήματι ὑψηλῷ καὶ [ce mot est omis dans G] ἐν αὐτῷ τῷ βουλευτηρίῳ... χρῷτο. Ἀνακαλούντων δὲ αὐτὸν τῶν μὲν ἥρωα, τῶν δὲ θεόν, δεινῶς [mot omis dans Peir.] ἐξεφρόνησεν. Tous les autres passages entre crochets, jusqu'à la fin du volume, sont dans le même cas. J'avertirai seulement des sutures.

sénateurs, ainsi que cela était naturel, lui adressant la parole et lui prenant la main, il attacha sur Scribonius Proculus un regard perçant : « Toi aussi, dit-il, tu me salues, toi qui hais tant l'empereur ? » A ces mots, les sénateurs présents entourèrent leur collègue et le mirent en pièces.

[Les sénateurs décrétèrent des jeux en l'honneur de Caius, une haute tribune dans la salle même des délibérations, afin que personne ne pût atteindre jusqu'à lui, et des soldats pour veiller, même au milieu d'eux, à sa sûreté; ils adoptèrent aussi une résolution en vertu de laquelle ses statues devaient avoir des gardes. Transporté de joie par cette conduite du sénat, Caius renonça à sa colère, et, avec toute l'étourderie d'un jeune homme, lui adressa quelques bonnes paroles. Pomponius, accusé de conspiration contre lui, fut absous, parce qu'il avait été trahi par un ami; quant à la maîtresse de Pomponius, n'ayant, malgré la torture, rien avoué, non-seulement il ne lui fit aucun mal, mais encore il la récompensa par de l'argent. Les éloges que lui valurent ces actes de clémence, éloges inspirés, les uns par la crainte, les autres par la vérité, et] les noms de héros et de dieu qui lui furent donnés troublèrent fortement sa raison. Déjà, en effet, auparavant, il souhaitait qu'on le prît pour quelque chose de plus relevé qu'un homme, et il prétendait avoir commerce avec la Lune et être couronné par la Victoire; il feignait aussi d'être Jupiter, et se vantait, par

4. Peir. om. — 5. Peir. om. — 6. Peir. om. — 7. Bkk. et Ddf.; vulg. : χρήματα.

8. Peir. : προστενανευσατο (*sic*). — 9. Peir. : Πομπώνιόν τε γάρ.

10. Bkk. et Ddf; vulg. : ἐπιβουλευθῆναι; Peir. : ἐπιβουλευθέντα (*sic*), la syllabe τα, dit M. Gros, encore lisible, malgré la ligature dont elle est surchargée. — 11. Suétone, 16 : « Muliebri libertinæ octoginta [sestertium millies] donavit, quod, excruciata gravissimis tormentis, de scelere patroni reticuisset. »

12. C, G, I om. Pour toutes ces folies de Caius, cf. Suétone, 22, et Philon.

κατὰ τοῦτο καὶ[1] γυναιξὶν ἄλλαις τε πολλαῖς[2], καὶ ταῖς ἀδελφαῖς μάλιστα, συνεῖναι προεφασίσατο. [Καὶ Ποσειδῶν αὖθις, ὅτι τοσοῦτον θαλάσσης μέτρον ἔζευξε[3]· τόν τε Ἡρακλέα, τόν τε Διόνυσον, τόν τε Ἀπόλλω, τούς τε ἄλλους οὐχ ὅτι τοὺς ἄῤῥενας, ἀλλὰ καὶ τὰς θηλείας ὑπεκρίνετο.] Ἥρα τε καὶ Ἄρτεμις καὶ Ἀφροδίτη πολλάκις ἐγίγνετο. Πρὸς γὰρ δὴ[4] τὴν τῶν ὀνομάτων μετάθεσιν καὶ τὸ ἄλλο σχῆμα πᾶν τὸ προσῆκον σφίσιν ἐλάμβανεν[5], [ὥστε ἐοικέναι ἂν δοκεῖν]. Τοτὲ[6] μὲν γὰρ[7] θηλυδριώδης ἐωρᾶτο[8], καὶ κρατῆρα καὶ θύρσον εἶχε, τοτὲ δὲ ἀῤῥενωπὸς καὶ[9] ῥόπαλον καὶ λεοντῆν, [ἢ καὶ κράνος ἀσπίδα τε] ἐφόρει. Λειογένειος αὖ καὶ μετὰ τοῦτο πωγωνίας ἐφαντάζετο· τρίαιναν τε ἔστιν ὅτε ἐκράτει, καὶ κεραυνὸν αὖθις ἀνέτεινε. Παρθένῳ τε [κυνηγετικῇ ἢ καὶ] πολεμικῇ ὡμοιοῦτο, καὶ μετ' οὐ πολὺ ἐγυναίκιζεν. Οὕτω που καὶ τῷ ῥυθμῷ τῆς στολῆς, καὶ τοῖς προσθέτοις τοῖς τε περιθέτοις[10] ἀκριβῶς ἐποικίλλετο· καὶ πάντα μᾶλλον δοκεῖν, ἢ ἄνθρωπος [αὐτοκράτωρ τε] εἶναι, ἤθελε[11]. Καὶ ποτέ τις ἀνὴρ Γαλάτης, ἰδὼν αὐτὸν ἐπὶ βήματος ὑψηλοῦ ἐν Διὸς εἴδει χρηματίζοντα, ἐγέλασεν· ὁ δὲ Γάϊος ἐκάλεσέ τε αὐτὸν καὶ ἀνήρετο, « Τί σοὶ δοκῶ[12] εἶναι; » Καὶ ὃς ἀπεκρίνατο (ἐρῶ γὰρ αὐτὸ τὸ λεχθὲν) ὅτι,

1. Les éd. de Xph., mais non celle de Df, om. — 2. Bkk., en note, comme conjecture : πολλαῖς ἄλλαις τε. — 3. J'ai suivi Bkk. et Ddf; Rm. et St. coupent l'extrait en deux par l'insertion de Ἥρα τε... ἐγίγνετο, omis dans Peir.; ces mots sont tout aussi bien à leur place plus bas, et il n'y a pas nécessité de faire une coupure. — 4. G : γὰρ δὲ δή.

5. Peir. : σφίσι ἐλάμβανε. — 6. Peir. et Bkk.; vulg. et Ddf : Ποτὲ [H : Καί ποτε] ... ποτέ. — 7. G om. — 8. G : ὡρᾶτο.

suite de cela, d'avoir habitude avec un grand nombre de femmes et principalement avec ses sœurs. [D'autres fois il était Neptune, parce qu'il avait jeté un pont sur une grande étendue de mer; il personnifiait aussi Hercule, Bacchus, Apollon et les autres divinités, non-seulement les dieux, mais aussi les déesses.] Souvent encore il devenait Junon, Diane, Vénus. En effet, suivant le nom de divinité qu'il prenait, il prenait aussi tout l'extérieur approprié au personnage [afin de paraître lui ressembler]. Un jour, on le voyait dans un équipage efféminé, une coupe et un thyrse à la main; un autre jour, il avait un air mâle, et portait une massue et une peau de lion [ou bien un casque et un bouclier]. Parfois le menton lisse, il se montrait ensuite avec de la barbe; parfois il tenait un trident, d'autres fois il lançait la foudre. Il ressemblait à la vierge [chasseresse ou bien à la vierge] guerrière, et, un instant après, il se transformait en femme. Voilà jusqu'où il poussait le soin de varier la manière dont sa robe tombait, ses cheveux postiches et ses coiffures; il voulait paraître tout autre chose qu'un homme [et un empereur]. Un Gaulois l'ayant vu un jour rendre d'une haute tribune des oracles, sous la figure de Jupiter, se prit à rire : Caius le fit appeler et lui demanda : « Que penses-tu de moi ? » Celui-ci lui répondit (je rapporterai ses paroles mêmes) :

9. Peir., Bkk. et Ddf; vulg. om. — 10. Rm. (*Addenda*) : « Quoniam Dio ipse κόμαις diserte addit alibi [LXI, 9, et LXXIX, 13], malim et hic bis ταῖς pro τοῖς poni. Videtur enim librarius, masculinum genus mentiente terminatione, deceptus. Alias supplendum foret κοσμήμασι, aut simile quid. » Le dernier parti me semble être de beaucoup le plus sûr.

11. Peir. : δοκεῖν εἶναι ἤθελε. — 12. Les éd. de Xph. : δοκεῖ; ι, suivi par Ddf, dans son édition de Xph : δοκῶ.

« Μέγα παραλήρημα. » Καὶ οὐδὲν μέντοι δεινὸν ἔπαθε· σκυτοτόμος γὰρ ἦν· οὕτω που ῥᾷον τὰς τῶν τυχόντων, ἢ τὰς τῶν ἐν ἀξιώσει τινὶ ὄντων, παῤῥησίας οἱ τοιοῦτοι φέρουσι[1]. Ταῦτα μὲν οὖν τὰ σχήματα, ὁπότε τις θεὸς ἐπλάττετο εἶναι, ἐλάμβανε· καὶ αὐτῷ[2] καὶ ἱκετεῖαι καὶ
R.p. 932. εὐχαὶ, θυσίαι τε, κατὰ τὸ πρόσφορον προσήγοντο[3]· ἄλλως δὲ δὴ[4] ἔν τε τῇ σηρικῇ καὶ ἐν τῇ νικητηρίᾳ σκευῇ, ὡς πληθει, ἐδημοσίευεν[5].

27. Ἐφίλει τε ὀλιγίστους[6]· τοῖς γὰρ πλείστοις καὶ τῶν βουλευτῶν[7] ἢ τὴν χεῖρα ἢ τὸν πόδα προσκυνεῖν ὤρεγε, καὶ διὰ τοῦθ' οἱ φιληθέντες ὑπ' αὐτοῦ χάριν αὐτῷ καὶ ἐν τῇ γερουσίᾳ ἐγίγνωσκον[8], καίτοι τοὺς ὀρχηστὰς καθ' ἡμέραν φιλοῦντι[9] πάντων ὁρώντων. [Καὶ ταῦτα μέντοι, ὅσα ὡς θεῷ αὐτῷ ἐγίγνετο, οὐχ ὅτι[10] οἱ πολλοὶ, καὶ ἀεί τινα κολακεύειν εἰωθότες ἐποίουν, ἀλλὰ] καὶ οἱ πάνυ δοκοῦντές τι[11] εἶναι. Ὁ γοῦν Οὐιτέλλιος[12] ὁ Λούκιος, οὔτ' ἀγενὴς[13] οὔτ' ἄφρων ὤν, ἀλλὰ καὶ ἐκ τῆς ἐν τῇ Συρίᾳ ἀρχῆς ὀνομαστὸς γενόμενος (τά τε γὰρ ἄλλα λαμπρῶς ἡγεμόνευσε[14],

1. Peir. om. : Καί ποτε... φέρουσι. — 2. Henri Etienne, Lncl. (approuvés par Rm.), Slbg, St., Bkk. et Ddf; vulg. : αὐτῶν.

3. Suétone, 22 : « ... Hostiæ erant phœnicopteri, pavones, tetraones, Numidicæ, meleagrides, phasianæ, quæ generatim per singulos dies immolarentur. » Cela n'empêchait pas d'offrir aussi à chaque dieu les victimes qui lui étaient particulièrement consacrées, en sorte qu'il y avait en même temps des victimes pour Caius, des victimes pour Jupiter, des victimes pour Apollon, etc. — 4. Peir. om. — 5. Suétone, 52, nous apprend que, même avant sa prétendue expédition en Germanie, Caius portait assidûment les ornements triomphaux. — 6. Xph. : ὀλίγους. Cf. Pline, Panégyrique, 28 : « Gratum erat cunctis, quod senatum osculo exciperes, ut dimissus osculo fueras. » — 7. Xph., Zn., Rm., St., Bkk.

« Que tu es un grand extravagant. » Le Gaulois n'eut aucune punition, car ce n'était qu'un cordonnier; tant il est vrai que de pareils caractères supportent plus aisément la liberté de langage chez des gens du commun que chez des gens constitués en dignité. Tels étaient les accoutrements qu'il prenait, lorsqu'il voulait se faire passer pour dieu, et alors on lui adressait des supplications, des prières et des sacrifices appropriés; dans les autres circonstances, il se rendait en public vêtu de soie, et, la plupart du temps, dans l'appareil d'un triomphateur.

27. Il embrassait peu de monde et ne présentait à la vénération des sénateurs que la main ou le pied; aussi ceux qu'il embrassait lui rendaient des actions de grâce en plein sénat, bien que, chaque jour, il embrassât les danseurs aux yeux de tous. [Quoi qu'il en soit, ces honneurs, qui lui étaient rendus comme à un dieu, l'étaient non-seulement par la multitude et par des gens habitués à flatter sans cesse, mais] aussi par les citoyens jouissant de la considération générale. Ainsi, L. Vitellius, qui ne manquait ni de noblesse ni d'esprit, Vitellius qui s'était illustré dans le gouvernement de la Syrie (entre autres actes brillants de son administration,

et Ddf; E : συμβουλευτῶν. — 8. Peir. om. : καὶ διὰ τοῦθ' οἱ . . . ἐγίγνωσκον.

9. Peir. : ἐφίλει, au lieu de φιλοῦντι. — 10. St., d'après Rm., Bkk. et Ddf; vulg. : ἐγίγνετο, ἃ οὐχ ὅτι.

11. Henri Étienne et les éd. subséq., d'accord avec les mss de Dion (et avec *a*), excepté E où on lit : δοκοῦντές τέ τι et C, G qui omettent τι. Au lieu de l'extrait de Peir., Xph. et les éd. antérieures à Rm. : ἐχολάχευον δ' αὐτὸν καὶ οἱ πάνυ.

12. Bkk. et Ddf; Henri Étienne et les éd. subséq. : Βιτέλλιος. Ddf, cependant, laisse subsister Βιτέλλιος dans Xph.; E, H, *i* : Βιτέλιος.

13. E, Henri Étienne et les éd. subséq.; de même, Xph., I et Peir.; les autres mss. : ἀγεννής, mais il s'agit moins ici de la naissance que des sentiments. — 14. : *a* : ἡγεμόνευε.

καὶ τὸν Ἀρτάβανον καὶ ἐκείνῃ ἐπιβουλεύοντα[1], ἐπειδὴ μηδεμίαν τιμωρίαν ἐπὶ τῇ Ἀρμενίᾳ ἐδεδώκει[2], κατέπληξέ τε ἀπαντήσας αὐτῷ ἐξαπιναίως περὶ τὸν Εὐφράτην ἤδη ὄντι, καὶ ἔς τε λόγους αὐτὸν ὑπηγάγετο, καὶ θῦσαι ταῖς τοῦ Αὐγούστου τοῦ τε Γαΐου[3] εἰκόσιν ἠνάγκασε[4]· σπονδάς τε αὐτῷ πρὸς τὸ τῶν Ῥωμαίων σύμφορον δοὺς, καὶ προσέτι καὶ παῖδας αὐτοῦ ὁμήρους λαβών)· οὗτος οὖν ὁ Οὐιτέλλιος[5] μετεπέμφθη μὲν[6] ὑπὸ τοῦ Γαΐου, ὡς καὶ ἀπολούμενος (ἐφ' οἷς[7] γὰρ οἱ Πάρθοι τὸν βασιλέα σφῶν ἐξήλασαν[8], ἐπὶ τούτοις ἐκεῖνος αἰτίαν ἔσχε, μισηθείς τε ὑπὸ τοῦ φθόνου, καὶ ἐπιβουλευθεὶς ὑπὸ τοῦ φόβου· [τῷ τε γὰρ κρείττονι[9] ἑαυτοῦ ὁ Γάϊος ἤχθετο, καὶ τὸ εὖ φερόμενον ὡς καὶ ἐπιθησόμενόν οἱ ὑπώπτευεν[10]])· ἐσώθη δὲ σχηματίσας πως ἑαυτὸν, ὥστε καὶ[11] ἐλάττων αὐτῷ τῆς δόξης φανῆναι, καὶ πρός τε τοὺς πόδας αὐτοῦ προσπεσὼν, καὶ δάκρυσι κλαύσας[12], κἀν τούτῳ καὶ θειάσας αὐτὸν πολλὰ καὶ προσκυνήσας[13], καὶ τέλος εὐξάμενος, ἂν περισωθῇ, θύσειν αὐτῷ ἐκείνῳ. Ἐκ γὰρ τούτων οὕτως αὐτὸν ἐτιθάσευσε[14] καὶ ἱλεώσατο, ὥστε μὴ μόνον περιγενέσθαι, ἀλλὰ

1. Cf. LVIII, 26; Suétone, Caligula, 14, et Vitellius, 2.
2. H : ἐδεδόκει. — 3. C, G : τοῦ Γαΐου τοῦ τε Αὐγούστου ; H om. : τοῦ τε Γαΐου. — 4. C : ἠνάκκαζε (sic, et, en plus, une barre transversale sur ζ).
5. Peir. om. : τά τε γὰρ ἄλλα. . . οὗτος οὖν ὁ Οὐιτέλλιος.
6. Peir. om.
7. J'ouvre ici, avec Bkk., une parenthèse que je ferme après ὑπώπτευεν de l'extrait de Peir.; Ddf (il supprime toutes les parenthèses, sans exception) adopte une ponctuation analogue. Rm. et St. mettent un point après ἀπολούμενος, après φόβου et après ὑπώπτευεν. — 8. Tiridate, que

ayant trouvé Artabanus qui, voyant qu'on avait laissé impunie son attaque contre la Médie, menaçait aussi la Syrie, il le frappa d'épouvante en se portant tout à coup à sa rencontre comme il était déjà sur le bord de l'Euphrate, l'amena à des pourparlers et le força de sacrifier aux images d'Auguste et de Caius, après lui avoir accordé des conditions de paix avantageuses aux Romains et avoir reçu ses enfants en otages); ce Vitellius, dis-je, fut mandé par Caius, qui avait l'intention de le faire mourir (les Parthes ayant chassé leur roi, on l'en rendit responsable, attendu qu'on le haïssait par jalousie et qu'on le persécutait par crainte, [car, pour Caius, les hommes supérieurs lui étaient à charge, et leurs succès lui faisaient craindre des embûches]); Vitellius, cependant, échappa au danger en se contrefaisant pour paraître moins grand que sa gloire, en tombant aux pieds du prince, en pleurant à chaudes larmes, en lui prodiguant les honneurs divins, en l'adorant, et enfin en promettant, s'il obtenait la vie, d'immoler des victimes à l'empereur. Par ces artifices, il adoucit l'empereur et se le rendit favorable au point, non-seulement

Tibère avait donné pour roi aux Parthes. Cf. Tacite, Ann., VI, 32 et suiv.

9. St., Bkk. et Ddf.; vulg. : τῷ ἑαυτοῦ. — 10. Rsk., Bkk. et Ddf.; Valois, Rm. et St. : ὑπωπτεύετο. — 11. Peir. om. — 12. Rsk. préférait κλύσας ou πλύσας.

13. Suétone, Vitellius, 2 : « Lucius [Vitellius] . . . miri in adulando ingenii, primus C. Cæsarem adorare ut deum instituit, quum reversus ex Syria non aliter adire ausus esset quam capite velato, circumvertensque se, deinde procumbens. »

14. Bkk. et Ddf; vulg. : ἐπιθάσσευε; E (corrigé par Henri Étienne) : ἐπιθάσσευε.

καὶ ἐν τοῖς πάνυ φίλοις αὐτοῦ νομισθῆναι[1]. Καί[2] ποτε
R.p. 938. τοῦ[3] Γαΐου συγγίγνεσθαί[4] τε τῇ Σελήνῃ λέγοντος, καὶ ἐρωτήσαντος αὐτὸν, εἰ ὁρᾷη τὴν θεὸν συνοῦσαν αὐτῷ, κάτω τε, ὡς καὶ τεθηπὼς, ἔβλεπεν, ὑποτρέμων· καὶ σμικρόν τι φθεγξάμενος, « Ὑμῖν, ἔφη, τοῖς θεοῖς, δέσποτα, μόνοις ἀλλήλους[5] ὁρᾶν ἔξεστι[6]. » Οὐιτέλλιος μὲν οὖν, ἐκεῖθεν ἀρξάμενος, πάντας καὶ μετὰ τοῦτο τοὺς ἄλλους κολακείᾳ ὑπερεβάλετο[7].

28. [Γάϊος δὲ ἐν[8] τῇ Ἀσίᾳ τῷ ἔθνει τέμενός τι ἑαυτῷ ἐν Μιλήτῳ τεμενίσαι ἐκέλευσε[9]· ταύτην γὰρ τὴν πόλιν ἐπελέξατο, λόγῳ μὲν εἰπὼν, ὅτι τὴν μὲν Ἔφεσον ἡ Ἄρτεμις, τὴν δὲ Πέργαμον ὁ Αὔγουστος, τὴν δὲ Σμύρναν ὁ Τιβέριος προκατειλήφασι[10]· τὸ δὲ ἀληθὲς, ὅτι τὸν νεὼν, ὃν οἱ Μιλήσιοι τῷ Ἀπόλλωνι καὶ μέγαν καὶ ὑπερκαλλῆ ἐποίουν, ἰδιώσασθαι ἐπεθύμησε. Τότε δὲ ἐπὶ πλέον ἐξήχθη, ὥστε καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ ναοὺς[11] ἑαυτοῦ, τὸν μὲν ὑπὸ τῆς βουλῆς ψηφισθέντα, τὸν δὲ ἰδίᾳ ἐν τῷ Παλατίῳ ποιήσασθαι.] Ἐτεκτήνατο[12] μὲν γὰρ καὶ ἐν[13] τῷ Καπιτωλίῳ καταλυσίν τινα, ἵν', ὡς ἔλεγε, τῷ Διὶ συνοικοίη[14]· ἀπαξιώσας δὲ δὴ[15] τὰ δευτερεῖα ἐν τῇ συνοικήσει αὐτοῦ

1. E om. : ἀλλὰ καὶ ἐν ... νομισθῆναι ; Xld. et les éd. subséq. les ont, d'accord avec les autres mss., ajoutés d'après Xph. — 2. Ddf, dans son édition de Xph., om. — 3. *a* om. — 4. Rm., d'après Xph., et les éd. subséq.; E : συγγενέσθαι. — 5. Henri Étienne Slbg et les éd. subséq.; E : ἀλλήλοις.

6. Peir. om. : Καί ποτε. . . ἔξεστι. — 7. Peir., *i*, *k*, Rm., St., Bkk. et Ddf; E et les autres éd. : ὑπερεβάλλετο. Peir., de plus : Ὅτι πάντας ἐν κολακείᾳ.

8. Rm. et les éd. subséq., d'après Peir. ;vulg. et Xph. : Γάϊος δὲ ἐπὶ

d'échapper au danger, mais même de prendre rang parmi ses plus intimes amis. Un jour que Caius, qui prétendait avoir commerce avec la Lune, lui demanda s'il voyait la déesse lorsqu'elle couchait avec lui, Vitellius baissa les yeux tout tremblant, comme s'il eût été ébahi, puis, un instant après : « Ce n'est qu'à vous autres dieux, ô maître, qu'il est permis de se voir les uns les autres. » A partir de ce moment, Vitellius en vint à surpasser par ses flatteries les autres courtisans.

28. [Caius se fit élever à Milet, dans la province d'Asie, un temple avec enceinte sacrée. La raison qu'il donna du choix de cette ville fut que Diane avait déjà pris Éphèse, Auguste Pergame, et Tibère Smyrne ; mais le vrai motif, c'est qu'il désirait s'approprier un temple vaste et magnifique que les Milésiens construisaient en l'honneur d'Apollon. Pour le moment, il alla jusqu'à construire, dans Rome même, des temples en son honneur, un en vertu d'un décret du sénat, un autre sur le Palatin, en vertu de sa propre autorité.] Il se bâtit, en effet, un pied-à-terre dans le Capitole, pour habiter, disait-il, avec Jupiter ; mais, dédaignant d'avoir le second rang dans cette demeure et reprochant au dieu de s'être

πλέον ἐξαχθείς, καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ ναὸν [H : νηοὶ (*sic*)] ἑαυτοῦ κατεσκευάκει [E : κατεσκεύακεν].

9. Le fait contenu dans cet extrait est confirmé par le témoignage de Zo. On peut encore consulter Suétone, 21. — 10. Sur cette préoccupation (à prendre le mot dans le sens du latin), cf. Tacite, Ann., IV, 55.

11. Rsk. et St. (Bkk. en note, comme conjecture) ; vulg. : ναόν.

12. C, H : ἐτεκτείνατο. — 13. Peir. : δὲ καὶ ἐν. — 14. Cf. Suétone, 22.

15. Peir. om.

φέρεσθαι, καὶ προσεγκαλέσας αὐτῷ [1] ὅτι τὸ Καπιτώλιον προκατέλαβεν [2], οὕτω δὴ ἕτερόν τε [3] νεὼν [4] ἐν τῷ Παλατίῳ [5] σπουδῇ ᾠκοδομήσατο [6], καὶ ἄγαλμα ἐς αὐτὸν ἠθέλησε [7] τὸ τοῦ Διὸς τοῦ Ὀλυμπίου [8] ἐς τὸ ἑαυτοῦ εἶδος μεταῤῥυθμίσαι [9]. Μὴ δυνηθεὶς δὲ (τό τε γὰρ πλοῖον τὸ πρὸς τὴν κομιδὴν αὐτοῦ ναυπηγηθὲν, κεραυνοῖς ἐφθάρη [10], καὶ γέλως, ὁσάκις τινὲς ὡς καὶ τοῦ ἔδους ἐφαψόμενοι προσῆλθον, πολὺς ἐξηκούετο [11]), ἐκείνῳ μὲν ἐπηπείλει, αὐτὸς δὲ ἕτερον ἐνέστησε. Τό [12] τε Διοσκούρειον [13] τὸ ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ ὂν [14] διατεμὼν, διὰ μέσου τῶν ἀγαλμάτων εἴσοδον δι' αὐτοῦ ἐς τὸ Παλάτιον ἐποιήσατο, ὅπως καὶ πυλωροὺς τοὺς Διοσκούρους, ὡς γε καὶ ἔλεγεν [15], ἔχῃ. Διάλιόν τε αὐτὸν [16] ὀνομάσας, τήν τε Καισωνίαν [17] τὴν
B. p. 934. γυναῖκα καὶ τὸν Κλαύδιον, ἄλλους τε τοὺς [18] πλουσιωτάτους, ἱερέας προσέθετο, πεντήκοντα καὶ διακοσίας ἐπὶ τούτῳ παρ' ἑκάστου μυριάδας λαβών [19]. Καὶ αὐτὸς ἑαυτῷ [20] ἱερᾶτο [21], καὶ τὸν ἵππον [22] συνιερέα ἀπέφαινε [23]. Καὶ ὄρνιθες αὐτῷ ἄπαλοί τέ τινες καὶ πολυτίμητοι καθ' ἑκάστην

1. Peir. : οἱ. — 2. Xph., E, G et les éd. antérieures à Rm. : κατέλαβεν.
3. Xph , Rsk., Bkk. et Ddf; Vulg. : γε. — 4. C : ναόν.
5. G : Καπιτωλίῳ, au lieu de Παλατίῳ. — 6. Peir. : ᾠκοδόμησεν.
7. C, G om. — 8. Peir. om. : τοῦ Ὀλυμπίου.
9. Cf. Suétone, 22. Peir., *a* : μεταρυθμῆσαι; C, G, H : μεταριθμῆσαι. Oddey croit qu'il manque ici le verbe ἱδρύεσθαι, et qu'il faut changer μεταῤῥυθμῆσαι en μεταῤῥυθμίσας. Rsk. est également d'avis de lire μεταῤῥυθμίσας, mais, en même temps, il insère μεταφέρειν après Ὀλυμπίου.
10. Peir. : ἐκερανώθη, au lieu de κεραυνοῖς ἐφθάρη, qui est peut-être une glose. — 11. Cf. Josèphe, XIX, 1; Suétone, 57. — 12. G : τόν.
13. Peir., Xph., C, G, H : Διοσκούριον. — 14. Peir. om. : τὸ ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ ὄν. — 15. Peir. : ὡς ἔλεγεν. — 16. C : αὐτάν; Peir. :

à l'avance emparé du Capitole, il se fit construire en hâte un autre temple sur le Palatin, et voulut transformer la statue de Jupiter Olympien en sa propre image. Mais, n'ayant pu y réussir (le vaisseau qui avait été construit pour effectuer ce transport fut consumé par la foudre, et des éclats de rire se firent entendre chaque fois qu'on s'approcha pour toucher à la statue), il s'emporta en menaces contre Jupiter, et s'érigea une autre statue. Une tranchée, qu'il pratiqua au travers du temple de Castor et Pollux, dans le Forum Romain, lui ouvrit, au milieu des deux statues, un passage pour aller au Palatin, afin que, comme il le disait, les Dioscures fussent ses portiers. Le titre, qu'il prit, de Flamine Dial lui donna lieu de s'adjoindre, comme prêtres, Césonia, sa femme, Claude et d'autres citoyens riches, de chacun desquels il reçut deux cents cinquante drachmes sous ce prétexte. Il s'offrit à lui-même des sacrifices, et prit son cheval pour collègue de son sacerdoce. Chaque jour, des oiseaux rares et d'un

ἑαυτόν. Casaubon (notes sur Suétone, 22), et Rm. est tenté de se ranger à son avis : Δία Λατιάλιον ou Λάτιον. « Nam quod ipse sui sacerdos fuerit, mox distincte tradit Dio, nec bis dicturus erat, divinitatis omissa appellatione. Et sic dixisset potius ceteros συνιερέας, non ἱερέας. » St., avec Fabricius : « *Flaminem Dialem*, sibi tanquam *Latiali Jovi* sacra facturum. Nam, ut est apud Zonaram, ἱερέας τε πολλοὺς ἑαυτῷ κατεστήσατο, καὶ αὐτὸς δ' ἑαυτῷ ἱερᾶτο. » — 17. C, G, *i* : Κασωνίαν. — 18. Peir. om. : τήν τε. . . ἄλλους τε τούς. — 19. Claude, au rapport de Suétone (9), fut réduit à une telle pénurie que ses biens, qu'il avait hypothéqués pour obtenir ce sacerdoce, furent mis en vente par les agents du fisc.

20. Peir. : Καὶ προσέτι καὶ αὐτὸς ἐν αὐτῷ. — 21. *a* : ἱεροῦτο.

22. Peir. : τόν τε ἵππον. — 23. Peir. : ἀπέφηνε.

ἡμέραν ἐθύοντο [1]. Ταῖς τε βρονταῖς ἐκ μηχανῆς τινος ἀντεβρόντα [2], καὶ ταῖς ἀστραπαῖς ἀντήστραπτε [3]· καὶ ὁπότε [4] κεραυνὸς καταπέσοι, λίθον ἀντηκόντιζεν [5], ἐπιλέγων ἐφ' ἑκάστῳ τὸ τοῦ Ὁμήρου, « Ἦ μ' ἀνάειρ', ἢ [6] ἐγὼ σέ. » [Ἐπειδή τε ἡ Καισωνία θυγάτριον [7] μετὰ τριάκοντα ἡμέρας τῶν γάμων ἔτεκε, τοῦτό τε αὐτὸ δαιμονίως προσεποιεῖτο, σεμνυνόμενος ὅτι ἐν τοσαύταις ἡμέραις καὶ πατὴρ καὶ ἀνὴρ [8] ἐγεγόνει· καὶ Δρουσίλλαν αὐτὴν ὀνομάσας, ἔς τε τὸ Καπιτώλιον ἀνήγαγε, καὶ ἐς τὰ τοῦ Διὸς γόνατα ὡς καὶ παῖδα αὐτοῦ οὖσαν ἀνέθηκε, καὶ τῇ Ἀθηνᾷ τιθηνεῖσθαι παρηγγύησεν.] Οὗτος οὖν ὁ θεὸς καὶ [9] οὗτος ὁ Ζεὺς ([καὶ γὰρ ἐκαλεῖτο τὰ τελευταῖα οὕτως, ὥστε καὶ ἐς γράμματα φέρεσθαι) ταῦτά τε ἅμα ἔπραττε, καὶ χρήματα αἴσχιστα καὶ δεινότατα συνελέγετο]. Ἵνα γάρ [10] τις [τά τε ὤνια καὶ τὰ καπηλεῖα, τάς τε ὥρας [11] καὶ τὰ δικαστήρια, τούς τε χειροτέχνας καὶ τὰ ἀνδράποδα τὰ μισθοφοροῦντα] τά τε ἄλλα τὰ τοιαῦτα [12], ἐξ ὧν [οὐδὲν ὅ τι οὐκ] ἠργυρίζετο, παραλείπῃ [13]· ἀλλὰ τά γε οἰκήματα, τὰ [14] ἐν αὐτῷ

1. Cf. ch. 26. — 2. *a*, *i* : ἀντικρούοντα, au lieu de ἀντεβρόντα.

3. C, E, G, Peir. : ἀντίστραπτε. — 4. Peir. : ὁπότε τε. — 5. G om.; Peir. : ἀντικόντιζεν. — 6. Iliade, XXIII, 724; Xph. et I : ἀνάειρε, ἦ.

7. Peir. : θυγάτρια.

8. Baumgarten-Crusius (notes sur Suétone) et les *Excerpta Vaticana*; ἀνὴρ καὶ πατήρ. Dans ces Extraits, c'est un fils dont accouche Cesonia : υἱόν, ὃν ἔσχεν ἐκ τοῦ προτέρου ἀνδρός.

9. H om. — 10. C, H, I om. — 11. Valois : « Sic in manuscripto scriptum est manifesto errore. Itaque conjiciebam τάς τε ὥρας, ut sensus sit, Caium ex modo aquæ, quæ litigantibus dabatur, lucrum captasse. » Baumgarten-Crusius semble l'approuver. Valois, à l'appui de sa conjecture, cite un passage de Suétone (40) où se trouvent ces mots : « Vecti-

grand prix lui étaient immolés. Il répondait au bruit du tonnerre par un tonnerre mécanique, et aux éclairs par des éclairs; quand la foudre était tombée, il lançait une pierre contre le ciel, en répétant à chaque fois ce mot d'Homère : « Enlève-moi ou je t'enlèverai. » [Césonia lui ayant donné une fille au bout de trente jours de mariage, il revendiqua l'enfant comme née par une faveur divine, se vantant d'être, en si peu de jours, devenu époux et père; il porta au Capitole cette fille, à qui il donna le nom de Drusilla, la déposa sur les genoux de Jupiter, comme si ce dieu en eût été le père avec lui et remit à Minerve le soin de la nourrir.] Or ce dieu, ce Jupiter ([c'étaient les noms qu'il se fit donner en dernier lieu, si bien qu'il est ainsi désigné dans plusieurs décrets), malgré de tels actes, n'en cherchait pas moins à se procurer de l'argent par des moyens honteux et avec la plus affreuse avidité]. Pour ne parler, en effet, [ni des denrées, ni des auberges, ni des procès, ni des jugements, ni des artisans, ni des esclaves rapportant un salaire à leurs maîtres], ni des autres choses du même genre, dont [aucune ne] fut exempte d'impôt; ces logements ouverts dans le palais même, où il établissait, pour

galia nova atque inaudita exercuit, nullo rerum aut hominum genere omisso, cui non tributi aliquid imponeret... Pro litibus atque judiciis, ubicumque conceptis, quadragesima summæ, de qua litigaretur. » Rsk. : « Ὧραι si bene habet, esse videntur ædes, ubi urnis, hoc est, per sortem, rerum dubiarum discrimina decidi solebant... Quod si prava sit scriptio, ut mihi videtur, conjici posset πόρνας meretrices, eoque significari lupanaria publica, diversa ab illis, quæ Caius in palatio aperiebat. » Conjecture fort ingénieuse et qui peut également s'appuyer sur l'autorité de Suétone.

12. Xph., C, G, H, I : τὰ αἴσχιστα, au lieu de τὰ τοιαῦτα.

13. Xph., C, G, I et Ddf : παραλίκῃ.

14. Peir. om.

τῷ παλατίῳ[1] ἀποδειχθέντα, καὶ τὰς γυναῖκας τὰς τῶν πρώτων, τούς τε παῖδας τοὺς τῶν σεμνοτάτων, οὓς ἐς αὐτὰ καθίζων ὕβριζεν, ἐκκαρπούμενος ἐπ' αὐτοῖς[2] πάντας ἁπλῶς, τοὺς μὲν ἐθελοντὰς, τοὺς δὲ καὶ ἄκοντας[3], ὅπως μὴ[4] καὶ δυσχεραίνειν τι[5] νομισθῶσι, πῶς ἄν τις
R.p. 935. σιωπήσειεν; [Οὐ μὴν ἀλλὰ τούτοις μὲν οὐ σφόδρα τὸ πλῆθος ἤχθετο, ἀλλὰ καὶ ἔχαιρον ὁμοῦ οἱ[6] τῇ τε ἀσελγείᾳ αὐτοῦ, καὶ ὅτι] ἔς τε[7] τὸ χρυσίον καὶ τὸ ἀργύριον[8] τὸ συλλεγόμενον ἀπ' αὐτῶν ἐμβάλλων ἑκάστοτε ἑαυτὸν ἐκαλινδεῖτο. [Ὡς μέντοι καὶ περὶ τῶν τελῶν πικρῶς τινα διανομοθετήσας, ἐς λεύκωμα αὐτὰ βραχυτάτοις γράμμασιν ἐσέγραψε, καὶ ἀφ' ὑψηλοῦ τινος ἀπεκρέμασεν, ὅπως ὡς ἥκιστα ἀναγιγνώσκοιτο, κἀκ τούτου πολλοὶ τοῖς ἐπιτιμίοις, ἀγνοοῦντες τὸ κεκωλυμένον ἢ κεκελευσμένον, περιπίπτωσιν[9], ἔς τε τὸν ἱππόδρομον εὐθὺς σπουδῇ συνέδραμον, καὶ δεινὰ συνεβόησαν.]

29. Ὡς οὖν πάντα τρόπον ἐξεμαίνετο, ἐπεβούλευσαν αὐτῷ Κάσσιός τε[10] Χαιρέας καὶ Κορνήλιος Σαβῖνος, καίτοι χιλιαρχίας ἐν τῷ δορυφορικῷ ἔχοντες. Συνώμοσαν μὲν γὰρ πλείονες, καὶ συνῄδεσαν τὸ πραττόμενον, ἐν οἷς ἦν ὅ τε

1. C : Καπιτωλίῳ, et, en marge : Παλατίῳ. — 2. Peir. om. : ἐκκαρπούμενος ἐπ' αὐτοῖς.

3. Rsk. voudrait ajouter quelque chose comme ἀλλ' οὐκ ἀντιλέγειν γε τολμῶντας.

4. Peir. : ὅπως καὶ μή. — 5. Bkk. (conjecture qui ne manque pas de vraisemblance) : οἱ.

6. Bkk. (même remarque qu'à la note précédente) : τι ; Rsk. avait déjà

les prostituer, les femmes des premiers citoyens et les enfants des plus illustres familles, bénéficiant sur tous à raison de ce commerce auquel les uns se livraient de leur plein gré, les autres malgré eux, de peur d'être considérés comme rebelles à ses ordres, comment les passer sous silence ? [Néanmoins ces désordres n'affligeaient pas trop les plébéiens, qui se réjouissaient, au contraire, des débauches du prince et en même temps de ce qu'] il se roulait sans cesse lui-même sur des monceaux d'or et d'argent ramassé par de telles voies. [Malgré cela, une loi dure au sujet des impôts, écrite sur une plaque blanche en caractères très-fins et suspendue très-haut, afin qu'il ne fût pas possible de la lire et que, par ignorance de ce qui était défendu et de ce qui était prescrit, un grand nombre encourussent les peines portées, souleva le peuple, qui accourut aussitôt en hâte dans le cirque et fit entendre des cris menaçants.]

29. Tandis donc qu'il s'abandonnait à toute sorte de folies, Cassius Chéréas et Cornélius Sabinus, bien que tribuns des cohortes prétoriennes, conspirèrent contre lui. Plusieurs prirent part à la conjuration et eurent connaissance de ce qui se passait ; de ce nombre

proposé cette dernière conjecture. — 7. H : γε ; Xph., C, G : ἐς γε τοι.

8. Peir. : καὶ ἐς τὸ ἀργύριον.

9. Suétone (41) : « Ejusmodi vectigalibus indictis, neque propositis, quum per ignorantiam scripturæ multa commissa fierent, tandem flagitante populo, proposuit quidem legem sed minutissimis litteris et angustissimo loco, uti ne cui describere liceret. »

10. Rm. et les éd. subséq., d'après Xph.; vulg. om.

Κάλλιστος[1] καὶ ὁ ἔπαρχος[2]· οἱ δὲ αὐτόχειρες αὐτοῦ γενόμενοι, ἐκεῖνοι ἦσαν. Ἄλλως[3] τε γὰρ ἀρχαιότροπός τις ἀνὴρ ὁ Χαιρέας ἦν, καί τινα καὶ ἰδίαν τῆς ὀργῆς αἰτίαν ἔσχε· γύννιν[4] τε γὰρ αὐτὸν, καίπερ ἐῤῥωμενέστατον ἀνδρῶν ὄντα, ὁ Γάϊος ἐπεκάλει, καὶ τὸ σύνθημα αὐτῷ, ὁπότε ἐς ἐκεῖνον καθήκοι, Πόθον, ἢ Ἀφροδίτην, ἢ ἕτερόν τι τοιοῦτον, ἐδίδου[5]. Θεοπρόπιον δέ τι τῷ Γαΐῳ ὀλίγον ἔμπροσθεν ἐγεγόνει, φυλάττεσθαι Κάσσιον· καὶ ὁ μὲν ἐς Γάϊον Κάσσιον[6], τὸν τότε τῆς Ἀσίας ἄρχοντα, ἐπειδὴ τὸ γένος ἀπὸ τοῦ Κασσίου ἐκείνου τοῦ τὸν Καίσαρα ἀποκτείναντος[7] εἶχεν, ὑποπτεύσας μετεπέμψατο αὐτὸν δεδεμένον· προέλεγε δ' ἄρα αὐτῷ τὸ δαιμόνιον τοῦτον τὸν Κάσσιον τὸν Χαιρέαν[8].

R.p.956. Ἀπολλώνιός τέ τις Αἰγύπτιος[9] οἴκοι τε τὸ συμβὰν αὐτῷ προεῖπε· καὶ πεμφθεὶς διὰ τοῦτ' ἐς τὴν Ῥώμην προσήχθη τε αὐτῷ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ[10] ἐν ᾗ τελευτήσειν ἔμελλε, καὶ ἀναβληθεὶς[11], ὡς καὶ μετ' ὀλίγον κολασθησόμενος,

1. Josèphe et Suétone s'accordent avec Dion pour nommer Calliste, affranchi et favori de Caius, parmi les conjurés; Josèphe donne le nom d'un certain nombre d'entre eux. — 2. Rm. : « Ὁ Ἔπαρχος. Sic vulgo. Forte, καὶ Ἀκύλας ὁ τῆς Αἰγύπτου ἔπαρχος, Fabricius ex Josephi, XIX, 1 et 4. Inter conjuratos, ἐπάρχους, *præfectos prætorii*, memorat Suetonius, c. 56, et ex Dione Zonaras. Male igitur vulgo [et Xph.] Ἔπαρχος *Eparchus*, quem nemo veterum inter conjuratos prodidit. Forte οἱ ἔπαρχοι scribendum. » — 3. G, H : Ἄλλος.

4. Xph. et Lncl. en marge : γύνιν. — 5. Cf. Sénèque, Constance du sage, 18; Suétone, 56, Josèphe XIX, 1.

6. Suétone : « Monuerunt et Fortunæ Antiatinæ ut a Cassio caveret. Qua causa ille Cassium Longinum, Asiæ tum proconsulem, occidendum delegaverat, immemor Chæream Cassium nominari. » Tacite et Suétone donnent à Cassius le prénom de Lucius et non celuide Caius. Rm. pense que cette erreur, qui est également dans Xph., vient d'une confusion entre

étaient Calliste et le préfet du prétoire, mais ce furent Chéréas et Sabinus qui agirent. Chéréas était un homme de mœurs antiques, il avait un sujet particulier d'être irrité contre Caius; Caius, en effet, l'appelait efféminé, bien qu'il fût, au contraire, le plus courageux des hommes, et il lui donnait pour mot d'ordre lorsque c'était son tour de venir le prendre, ou *Cupidon*, ou *Vénus*, ou quelque autre nom semblable. Un présage avait, peu de temps auparavant, averti Caius de se garder de Cassius. Ses soupçons s'étant portés sur C. Cassius, alors gouverneur de l'Asie, attendu qu'il descendait du fameux Cassius, qui avait assassiné César, il se le fit amener chargé de chaînes; mais le Cassius dont parlaient les dieux, c'était Chéréas. Un Égyptien, un certain Apollonius, prédit l'événement dans son pays; envoyé à Rome à raison de cette prédiction, il fut amené à l'empereur le jour qui devait être celui de sa mort, mais son affaire ayant été ajournée comme celle d'un homme qui sera sous quelques jours livré au supplice, il conserva la vie. Voici

Γ et A, forme abrégée sous laquelle les noms auraient été d'abord écrits; le copiste ayant encore le nom de Caius (César) dans l'esprit, aurait mis Γάϊον pour Λούκιον. — 7. G : ἀποκτείναντα. — 8. C : ἀρχιερέα, avec un point sous chaque lettre, et, en marge, Χαιρέαν; H : Χεραίαν.

9. Rm., contrairement à l'opinion de Fabricius, croit que ce pourrait être le fameux Apollonius de Tyane, et qu'alors Αἰγύπτιος désignerait non le pays d'Apollonius, mais deviendrait synonyme de charlatan, attendu que les Égyptiens étaient adonnés à la superstition et à la magie. Mais Philostrate (IV, 35) ne fait arriver Apollonius à Rome que sous le règne de Néron. — 10. Xph. : ἐν αὐτῇ ἐκείνῃ τῇ ἡμέρᾳ.

11. Rm., d'après Xph. et Xld.; de même St., Bkk. et Ddf avec les mss., excepté E où on lit ἀναχλησίς que Lncl. rétablit à la marge, en traduisant *evocatus*, sans songer que, d'après les règlements de Tibère (LVII, 20), il devait y avoir un intervalle de dix jours entre la condamnation et l'exécution.

ἐσώθη. Ἐπράχθη δὲ ὧδε. Ἑορτήν τινα ἐν τῷ Παλατίῳ ἦγε, καὶ θέαν ἐπετέλει[1], κἀν τούτῳ καὶ αὐτὸς καὶ ἤσθιε καὶ ἔπινε, καὶ τοὺς ἄλλους εἱστία, ὅτε δὴ καὶ Πομπώνιος Σεκοῦνδος ὁ τότε ὑπατεύων, ἐνεφορεῖτό τε ἅμα τῶν σιτίων, παρὰ τοῖς ποσὶν αὐτοῦ καθήμενος, καὶ ἐπικύπτων συνεχῶς αὐτοὺς κατεφίλει. Ὡς δὲ καὶ αὐτὸς ὁ Γάϊος[2] καὶ ὀρχήσασθαι καὶ τραγῳδίαν ὑποκρίνασθαι ἠθέλησεν, οὐκέθ' οἱ περὶ τὸν Χαιρέαν ὑπέμειναν, ἀλλὰ τηρήσαντες αὐτὸν ἐκ τοῦ θεάτρου ἐξελθόντα ἵνα τοὺς παῖδας θεάσηται, οὓς ἐκ τῆς Ἑλλάδος καὶ τῆς Ἰωνίας τῶν πάνυ εὐγενῶν, ἐπὶ τῷ τὸν ὕμνον τὸν εἰς ἑαυτὸν[3] πεποιήμενον ᾄσαι, μετεπέμψατο[4] δῆθεν, ἀπέκτειναν, ἐν στενωπῷ τινι ἀπολαβόντες[5]. Καὶ αὐτοῦ συμπεσόντος[6] οὐδεὶς τῶν παρόντων ἀπέσχετο, ἀλλὰ καὶ νεκρὸν αὐτὸν ὄντα ὠμῶς[7] ἐτίτρωσκον· καί τινες καὶ[8] τῶν σαρκῶν αὐτοῦ ἐγεύσαντο. Τήν τε γυναῖκα καὶ τὴν θυγατέρα εὐθὺς ἔσφαξαν[9].

30. Γάϊος μὲν δὴ ταῦτα ἐν ἔτεσι τρισὶ[10], καὶ μησὶν ἐννέα, ἡμέραις τε ὀκτὼ καὶ εἴκοσι, πράξας, τοῖς ἔργοις αὐτοῖς ὡς οὐκ ἦν θεὸς ἔμαθεν. Ἐμνημόνευόν τε οἱ παρόντες

1. Les jeux Palatins institués par Livie (LVI, 46) en l'honneur d'Auguste.

2. Zonaras : Ὁ γὰρ Χαιρέας καὶ ὁ Σαβῖνος ἐπὶ τοῖς γιγνομένοις αἰσχροῖς ἀλγοῦντες, ὁμῶς ἐκαρτέρουν ἐπὶ πέντε ἡμέρας. Ὡς δὲ καὶ αὐτὸς ὁ Γάϊος καὶ ὀρχήσασθαι καὶ τραγῳδίαν ἠθέλησεν ὑποκρίνασθαι, καὶ διὰ τοῦτο ἑτέρας τρεῖς ἡμέρας προήγγειλε, τηρήσαντες αὐτόν. . . « Chéréas et Sabinus, bien qu'af-
« fligés des turpitudes qui avaient lieu, se continrent néanmoins pendant
« cinq jours. Mais lorsque Caius voulut danser lui-même et jouer la tra-
« gédie, et, pour ce motif, annonça trois nouveaux jours de fête, alors
« saisissant le moment où il. . . » — 3. Lncl. : αὐτόν.

comment la chose s'exécuta. Caïus célébrait une fête sur le Palatin et donnait un spectacle; pendant ce temps, il mangeait et buvait lui-même et traitait les autres; Pomponius Sécundus, alors consul, portait les mets à sa bouche, assis aux pieds du prince, et se baissant à chaque instant pour les embrasser. Lorsqu'ensuite Caius voulut danser et jouer la tragédie, Chéréas et les conjurés n'attendirent plus; mais, observant le moment où Caius sortait du théâtre pour regarder des enfants des plus nobles familles de la Grèce et de l'Ionie, qu'il avait fait venir pour chanter un hymne composé en son honneur, ils le tuèrent dans un passage étroit où ils le saisirent. Caius étant tombé, aucun de ceux qui étaient présents ne conserva plus de retenue, on perça cruellement son cadavre de coups; quelques-uns allèrent même jusqu'à manger de sa chair. Sa femme et sa fille furent immédiatement égorgées.

30. Caius, après s'être conduit de la sorte durant l'espace de trois ans, neuf mois et vingt-huit jours, apprit, par les faits mêmes, qu'il n'était pas dieu. Ceux qui

4. Cf. Josèphe; *a* et *i* : μετάπεμπτον, — 5. Cf. Suétone, 58.

6. Les éd. de Xph. : καὶ τοῦτο πράσσοντος; *i* : καὶ αὐτοῦ ταράσσοντος.

7. Oddey : ὁμῶς, conjecture ingénieuse. — 8. C om. — 9. Cf. Suétone, 59; Josèphe, XIX, 2.

10. G : ἐν ἔτεσι τρισὶ ταῦτα. Caius était arrivé à l'empire l'an de Rome 790, de J.-C. 37, le 16 mars; il fut tué l'an de Rome 794, de J.-C. 41, le 24 janvier. Les auteurs ne sont pas tous d'accord sur la durée de sa vie ni de son règne. Fabricius (note 804 dans Rm.) a rapporté les principales opinions.

τοῦ λεχθέντος[1] ποτὲ ὑπ' αὐτοῦ πρὸς τὸν δῆμον, « Εἶθε ἕνα αὐχένα εἴχετε, » ἐπιδεικνύντες αὐτῷ ὅτι ἐκεῖνος μὲν αὐχένα ἕνα, σφεῖς δὲ δὴ χεῖρας πολλὰς ἔχοιεν. Ἐπεὶ δὲ
R. p. 987. τὸ δορυφορικὸν ἐταράττετο, καὶ διαθέοντες ἐπυνθάνοντο τίς Γάϊον ἔσφαξεν, Οὐαλέριος Ἀσιατικὸς[2], ἀνὴρ ὑπατευκὼς, θαυμαστόν δή τινα τρόπον αὐτοὺς ἡσύχασεν, ἀνελθὼν ἐς περιφανές τι χωρίον, καὶ ἐκβοήσας, « Εἶθε ἐγὼ αὐτὸν ἀπεκτόνειν. » Καταπλαγέντες γὰρ ἐπαύσαντο τοῦ θορύβου.

1. Zonaras : Ὡς δὲ ὁ θάνατος αὐτοῦ διηγγέλθη, πλὴν ὀλίγων τῶν συνηθεστάτων αὐτῷ, πάντες ἔχαιρον, μεμνημένοι καὶ τοῦ λεχθέντος ποτὲ ὑπ' αὐτοῦ... « Quand on annonça sa mort, tout le monde, excepté le petit

étaient présents rappelaient la parole adressée par lui au peuple : « Plût aux dieux que vous n'eussiez qu'une seule tête, » lui montrant par là qu'il n'avait, lui, qu'une seule tête, mais qu'ils avaient, eux, plusieurs bras. Comme les gardes prétoriennes s'agitaient et couraient çà et là, demandant qui avait tué Caius, Valérius Asiaticus, personnage consulaire, imagina un moyen merveilleux de les apaiser, en montant sur une hauteur, exposé à tous les regards, et en s'écriant à haute voix : « Plût aux dieux que ce fût moi qui l'eusse tué. » En effet, les prétoriens étonnés cessèrent le désordre.

« nombre de ceux qui avaient eu part à ses excès, firent éclater leur « joie, se souvenant de cette parole qu'il avait dite autrefois... »

2. Cf. Josèphe, XIX, 1 ; Sénèque, Constance du sage, 18.

ΤΩΝ

ΔΙΩΝΟΣ

ΙΣΤΟΡΙΩΝ ΡΩΜΑΙΚΩΝ

ΤΟ ΕΞΗΚΟΣΤΟΝ ΒΙΒΛΙΟΝ.

[Τάδε ἐνεστιν ἐν τῷ ἑξηκοστῷ ἑβδόμῳ τῶν Δίωνος Ῥωμαϊκῶν [1].

Περὶ Κλαυδίου Καίσαρος.

Ὡς Μιθριδάτῃ ἀμφοτέρῳ, καὶ Ἀγρίππᾳ, καὶ Ἡρώδῃ ἀπέδωκε τὰς ἀρχὰς αὐτῶν, καὶ προσεπηύξησε [2].

Ὡς Μαυρούσιοι, καὶ Χάττοι κατεστράφησαν [3].

Ὡς ὑπὸ Κλαυδίου πρὸς ταῖς τοῦ Τιβέριδος ἐκβολαῖς ὁ Λιμὴν ἐποιήθη.

Κλαυδίου σφαγαὶ καὶ τίνες αὐτῶν αἴτιοι.

Ὡς Κλαύδιος κατὰ Βρεττανῶν ἐξεστράτευσε, καὶ ἐνίκησεν αὐτούς.

Ὡς ἡ Μεσσαλῖνα ἐμοιχεύετο καὶ ἐπορνεύετο, καὶ τί αὐτῇ θανάτου αἴτιον [4].

1. Même observation qu'en tête du livre LVIII.— 2. Au lieu de : Ὡς ἡ Μαυριτανία διχῇ διενεμήθη, qui forme le troisième article.

HISTOIRE ROMAINE

DE DION.

LIVRE SOIXANTIÈME.

[Matières contenues dans le soixantième livre de l'Histoire romaine de Dion.

Sur Claude César, § 1-7.

Comment il rendit à l'un et à l'autre Mithridate, à Agrippa et à Hérode leurs royaumes et les augmenta, § 8.

Comment les Maurusiens et les Cattes furent subjugués, § 8-9.

Comment fut construit par Claude le Port, à l'embouchure du Tibre, § 11.

Meurtres commis par Claude, et quels en furent les instigateurs, § 14-16.

Comment Claude marcha contre les Bretons et les vainquit, § 19 22.

Adultères et prostitutions de Messaline, et quelle fut la cause de sa mort, § 22-31.

3. Paragraphe corrigé d'après Dion, ch. 8 et 9. — 4. Paragraphe ajouté d'après le sommaire latin.

Ὡς Ἀγριππῖναν ὁ Κλαύδιος ἔγημεν, ἡ ταχὺ καὶ αὐτὴ Μεσσαλῖνα ἐγένετο [1].

Ὡς Κλαύδιος ἀπέθανεν.

Χρόνου πλῆθος, τὰ λοιπὰ τῆς Γαΐου τοῦ Καίσαρος, τὸ δὲ καὶ Γναίου Σατορνίνου ὑπατείας· καὶ ἄλλα ἔτη ιγ', ἐν οἷς ἄρχοντες οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο·

Γάϊος Καῖσαρ Αὔγουστος, τὸ δ', καὶ Γναῖος Σέντιος Σατορνῖνος.

Κλαύδιος Καῖσαρ Αὔγουστος, τὸ β', καὶ Γάϊος Καίκινας Λάργος.

Κλαύδιος Καῖσαρ Αὔγουστος, τὸ γ', καὶ Λούκιος Οὐιτέλλιος, τὸ β'.

Λούκιος Κυΐνκτιος Κρισπῖνος, τὸ β', καὶ Μάρκος Στατίλιος Ταῦρος.

Μάρκος Οὐϊνίκιος, τὸ β', καὶ Τίτος Στατίλιος Κουρουῖνος.

Οὐαλέριος Ἀσιατικὸς, τὸ β', καὶ Μάρκος Ἰούνιος Σιλανός.

Κλαύδιος Καῖσαρ Αὔγουστος, τὸ δ, καὶ Λούκιος Οὐιτέλλιος, τὸ γ'.

Αὖλος Οὐιτέλλιος καὶ Λούκιος Οὐϊψάνιος.

Γάϊος Πομπήϊος Λογγῖνος Γάλλος, καὶ Κόϊντος Οὐεράνιος.

Γάϊος Ἀντίστιος Οὐέτερ, καὶ Μάρκος Σουΐλιος Νερουϊλιανός.

1. Ce paragraphe a été modifié et complété d'après le sommaire latin.

Comment Claude épousa Agrippine, qui devient bientôt une seconde Messaline, § 31-34.

Comment Claude mourut, § 34-35.

Espace de temps : le reste du quatrième consulat de C. César et de Cn. Sentius Saturninus; et, de plus, treize autres années, pendant lesquels les consuls furent :

Caius César Auguste, IV, et Cnéius Sentius Saturninus.

Claude César Auguste, II, et Caius Cécina Largus.

Claude César Auguste, III, et Lucius Vitellius, II.

Lucius Quinctius Crispinus, II, et Marcus Statilius Taurus.

Marcus Vinicius, II, et Titus. Statilius Corvinus.

Valérius Asiaticus, II, et Marcus Junius Silanus.

Claude César Auguste, IV, et Lucius Vitellius, III.

Aulus Vitellius, et Lucius Vipsanius.

Caius Pompée Longinus Gallus, et Quintus Véranius.

Caius Antistius Véter, et Marcus Suillius Nervilianus.

Κλαύδιος Καῖσαρ Αὔγουστος, τὸ ε', καὶ Σέργιος Κορνήλιος Ὄρφιτος.

Κορνήλιος Σύλλας Φαῦστος καὶ Λούκιος Σαλούϊος Ὄθων Τιτιανός.

Δέκιμος Ἰούνιος Σιλανὸς Τορκουᾶτος, καὶ Κόϊντος Ἀτέριος Ἀντονῖνος.

Μάρκος Ἀσίνιος Μάρκελλος, καὶ Μάνιος Ἀκίλιος Ἀουιόλας.]

1. Τοῦ δὲ Γαΐου[1] ὡς εἴπομεν ἀπαλλάξαντος, φυλακὰς[2] ἐκασταχόσε τῆς πόλεως οἱ ὕπατοι διαπέμψαντες, τήν τε βουλὴν ἐς τὸ Καπιτώλιον ἤθροισαν[3], καὶ πολλαι καὶ ποικίλαι γνῶμαι ἐλέχθησαν[4]· τοῖς μὲν γὰρ δημοκρατεῖσθαι, τοῖς δὲ μοναρχεῖσθαι ἐδόκει· καὶ οἱ μὲν τὸν, οἱ δὲ τὸν ἡροῦντο[5]. Καὶ διὰ τοῦτο τὴν ἡμέραν τὴν λοιπὴν
B.p.939. καὶ τὴν νύκτα πᾶσαν κατέτριψαν μηδὲν τελειώσαντες. Κἀν τούτῳ στρατιῶταί τινες ἐς τὸ παλάτιον, ὅπως τι συλήσωσιν, ἐσελθόντες, εὗρον τὸν Κλαύδιον ἐν γωνίᾳ που σκοτεινῇ κατακεκρυμμένον (συνῆν τε γὰρ τῷ Γαΐῳ[6], καὶ

1. Xph. : Κλαύδιος δὲ αὐτοκράτωρ ὧδε ἐγένετο. Μετὰ γὰρ τὴν ἀναίρεσιν τοῦ Γαΐου φύλακας. — 2. Bkk. et Ddf; vulg. et Xph. : φύλακας.

3. Au rapport de Josèphe, XIX, 1, les consuls publièrent par un édit l'acte d'accusation de Caius, exhortant les soldats et le peuple à se retirer chacun chez soi, offrant au peuple l'espoir d'un grand soulagement, et aux soldats celui de récompenses nombreuses. Il rapporte, en outre, un discours où Cn. Sentius Saturninus félicite le peuple d'avoir recouvré la liberté ; puis, il ajoute que Chéréas, ayant pris des consuls le mot d'ordre qu'il avait coutume de demander à Caius, reçut d'eux le mot *Liberté*.

Claude César Auguste, V, et Sergius Cornélius Offitus.

Cornélius Sylla Faustus, et Lucius Salvius Othon Titianus.

Décimus Junius Silanus Torquatus, et Quintus Hatérius Antonin.

Marcus Asinius Marcellus, et Manius Acilius Aviola.]

1. Caius étant mort de la manière que nous avons dit, les consuls, après avoir établi des postes dans toutes les parties de la ville, assemblèrent le sénat au Capitole, où furent proposés des avis aussi nombreux que divers : les uns voulaient un gouvernement populaire, les autres un gouvernement monarchique; les uns préféraient tel prince, les autres tel autre. Aussi passèrent-ils le reste du jour et la nuit entière sans prendre aucune résolution. Sur ces entrefaites, quelques soldats étant entrés dans le palais, à dessein de piller, trouvèrent Claude caché dans un coin obscur (il était avec Caius et s'était

An de Rome 794. Pomponius Sécundus et Ca. Srutius consuls subrogés.

Suétone (Claude, 10) : « Consules cum senatu et cohortibus urbanis forum Capitoliumque occuparunt, asserturi communem libertatem. »

4. Suétone relate également cette hésitation du sénat, déjà dégoûté de son rôle.

5. Cf. le ch. suivant. Josèphe, XIX, 1, cite encore, parmi les prétendants, M. Minucianus, mari de Julia, sœur de Caius (Dion, ch. 15, lui donne le nom d'Annius Vinicianus, en lui adjoignant Furius Camillus), et Valérius Asiaticus. Le même auteur rapporte aussi les efforts de Chéréas pour s'opposer à l'élection de Claude. — 6. Zn. ajoute : τοῦ θεάτρου ἐξερχομένῳ.

τότε τὴν ταραχὴν φοβηθεὶς, ὑπέπτηξε), καὶ αὐτὸν τὸ μὲν πρῶτον, ὡς καὶ ἄλλον τινὰ ὄντα, ἢ ἐχοντά τι, ἐξείλκυσαν[1]· ἔπειτα δὲ γνωρίσαντες[2], αὐτοκράτορα προσηγόρευσαν, καὶ ἐς τὸ στρατόπεδον αὐτὸν ἤγαγον, κἀκ τούτου μετὰ τῶν ἄλλων, οἷα τοῦ τε βασιλικοῦ γένους ὄντι, καὶ ἐπιεικεῖ νομιζομένῳ, πᾶν τὸ κράτος αὐτῷ ἔδωκαν[3]. Οἱ δ' ὕπατοι τέως μὲν ἄλλους καὶ[4] δημάρχους πέμποντες, ἀπηγόρευον αὐτῷ[5] μηδὲν τοιοῦτο ποιεῖν, ἀλλ' ἐπί τε τῷ δήμῳ καὶ τῇ βουλῇ καὶ τοῖς νόμοις γενέσθαι[6]· ἐπεὶ δὲ αὐτοὺς οἱ συνόντες σφίσι στρατιῶται ἐγκατέλιπον, τότε δὴ καὶ αὐτοὶ ὡμολόγησαν, καὶ τὰ λοιπὰ ὅσα ἐς τὴν αὐταρχίαν[7] ἥκοντα ἦν, αὐτῷ ἐψηφίσαντο.

2. Οὕτω μὲν Τιβέριος Κλαύδιος Νέρων Γερμανικὸς[8], ὁ τοῦ Δρούσου τοῦ τῆς Λιουΐας[9] παιδὸς υἱὸς, τὴν αὐτοκράτορα ἀρχὴν ἔλαβε· μὴ πρὶν ἐν ἡγεμονίᾳ τινὶ τὸ παράπαν ἐξητασμένος, πλὴν ὅτι μόνον ὑπάτευσεν[10]· ἦγε δὲ πεντηκοστὸν ἔτος τῆς ἡλικίας[11]. Οὗτος τὴν μὲν ψυχὴν οὐ

1. H : ἐξείλκησαν. Cf. Suétone, 10, et Josèphe, XIX, 3.

2 Xph. : γνώσαντες; C : χνωρησαντες (*sic*).

3. Xph. : κἀκ τούτου μετὰ τῶν ἄλλων πᾶν τὸ κράτος... ἔδωκαν [G : ἔδωκεν], enchaînement meilleur des idées, suivant Rm. Zn. ajoute ici : Εἰ γὰρ καὶ ἀνεδύετο καὶ ἀντέλεγεν, ἀλλ' ὅσον ἐξίστατο καὶ ἀντέκειτο, τοσοῦτο μᾶλλον ἀντεφιλονείκουν οἱ στρατιῶται μὴ παρ' ἑτέρων λαβεῖν αὐτοκράτορα, ἀλλ' αὐτοὶ δοῦναι πᾶσι. Διὸ καὶ ἄκων, ὡς ἐδόκει, ὑπέκυψεν. « Il eut beau « refuser et contredire ; plus il cherchait à s'y soustraire et à résister, « plus les soldats insistaient pour, au lieu de recevoir un empereur des « autres citoyens, en donner un eux-mêmes à tous. Aussi céda-t-il, « malgré lui, à ce qu'il semblait. » — 4. Bkk. et Ddf; vulg. : τέως ἄλλους μὲν καί.

alors tapi dans une cachette, effrayé du tumulte); ils commencèrent par l'en tirer, dans la créance que c'était un autre ou qu'il avait quelque objet précieux; puis, l'ayant reconnu, ils le saluèrent empereur, et l'emmenèrent dans le camp, où, avec le reste de leurs compagnons, attendu qu'il était de la famille impériale et qu'il passait pour homme de bon caractère, ils lui donnèrent la souveraine puissance. Les consuls, jusque-là, avaient envoyé, entre autres personnages, des tribuns du peuple pour défendre à Claude de rien faire et de demeurer soumis à l'autorité du peuple, du sénat et des lois; mais, abandonnés par les soldats qui les entouraient, ils finirent par consentir à cette élection et décernèrent à Claude tous les honneurs appartenant au pouvoir suprême.

2. C'est ainsi que Claude Tibère Néron Germanicus, fils de Drusus fils de Livie, parvint à l'empire, bien qu'auparavant il n'eût exercé absolument aucune charge, sinon, une seule fois, celle de consul; il était alors âgé de cinquante ans. Son esprit n'était pas sans distinction:

5. Rsk. : « Forte αὐτοῖς. » — 6. Suétone, 10 : « Accitusque et ipse per tribunos plebis [Véranius et Brocchus, d'après Josèphe] in curiam ad suadenda quæ viderentur, vi se et necessitate teneri, respondit. » Josèphe raconte que les tribuns conseillèrent à Claude, s'il voulait l'empire, de le demander au sénat plutôt qu'aux soldats, mais qu'il n'osa pas s'en remettre au sénat, et que, sur l'avis du roi Agrippa, l'un des professeurs de tyrannie de Caius (LIX, 24), il laissa faire les soldats.

7. Xph. : αὐταρχίαν αὐτοῦ.

8. Sur les noms de Claude dans les auteurs et sur les monuments, cf. la note 9 dans Reimarus.

9. G, H, I : Ἀτθίας. — 10. Cf. LIX, 6.

11. Suétone, 2, nous apprend que Claude naquit aux calendes d'août, l' de Rome 744.

φαῦλος ἐγένετο, ἀλλὰ καὶ [1] ἐν παιδείᾳ ἤσκητο [2], ὥστε καὶ [3] συγγράψαι τινά· τὸ δὲ δὴ σῶμα νοσώδης, ὥστε καὶ τῇ κεφαλῇ καὶ ταῖς χερσὶν ὑποτρέμειν [4]. Καὶ διὰ τοῦτο
R.p. 940. καὶ τῷ φωνήματι ἐσφάλλετο [5], καὶ οὐ πάντα, ὅσα ἐς τὸ συνέδριον ἐσέφερεν, αὐτὸς ἀνεγίνωσκεν, ἀλλὰ τῷ ταμίᾳ, τήν γε πρώτην καὶ παρὼν [6], ὡς γε πληθει, ἀναλέγεσθαι ἐδίδου. Ὅσα δ' οὖν αὐτὸς ἀνεγίγνωσκε, καθήμενος ὡς τὸ πολὺ ἐπελέγετο. Καὶ μέντοι καὶ δίφρῳ καταστέγῳ πρῶτος Ῥωμαίων ἐχρήσατο, καὶ ἐξ ἐκείνου καὶ νῦν οὐχ ὅτι οἱ αὐτοκράτορες, ἀλλὰ καὶ ἡμεῖς οἱ ὑπατευκότες διφροφορούμεθα· πρότερον δὲ [7] ἄρα ὅ τε [8] Αὔγουστος καὶ ὁ Τιβέριος, ἄλλοι τέ τινες ἐν σκιμποδίοις, οἷς νῦν νομίζουσιν [9], ἔστιν ὅτε ἐφέροντο [10]. Οὐ μέντοι καὶ διὰ ταῦθ' οὕτως, ὅσον ὑπό τε τῶν ἐξελευθέρων καὶ ὑπὸ τῶν γυναικῶν αἷς συνῆν, ἐκακύνετο. Περιφανέστατα γὰρ τῶν ὁμοίων [11] ἐδουλοκρατήθη τε καὶ ἐγυναικοκρατήθη· ἅτε γὰρ ἐκ παίδων ἔν τε [12] νοσηλείᾳ καὶ ἐν φόβῳ πολλῷ τραφεὶς [13], καὶ διὰ

1. Ddf : ἀλλὰ ἀεὶ καί. — 2. *a*, *i* : ἤσκηται. Le même témoignage lui est rendu par Suidas, par Jean d'Antioche (dans les Extraits Peiresc), par Suétone, 11, 21, 33, 40, 41, 42. Le passage de Dion se lit ainsi dans Peiresc : Ὅτι ὁ Κλαύδιος ὁ ἐξ ἰδιώτου αὐτοκράτωρ ἐγένετο τὴν μὲν ψυχὴν οὐ φαῦλος, ἀλλὰ καὶ ἐν παιδείᾳ ἤσκητο.

3. K (ici se termine la lacune signalée, dans ce ms., au ch. 25 du livre précéd.) et St. : ὥστε ἀεὶ καί.

4. Sur ce tremblement de Claude, cf. Suétone, 30. G : τρέμειν ; de même Suidas, qui cite tout ce passage, depuis τὴν μὲν ψυχήν jusqu'à δέος ἐνέβαλλον, mais inexactement et en abrégé.

5. C : ἐσφάλετο. Auguste (Suétone, Claude, 3) écrivant à Livie : « Tiberium, nepotem tuum, placere mihi declamantem potuisse, peream, nisi, mea Livia, admiror. Nam qui tam ἀσαφῶς loquatur, qui possit, quum

il s'était exercé aux lettres assez pour avoir composé des mémoires; mais son corps était tellement maladif, qu'il avait un tremblement dans la tête et dans les mains. Aussi sa voix manquait-elle de fermeté, et, quand il apportait au sénat quelque projet, ce n'était pas toujours lui qui le lisait; presque toujours, dans les premiers temps, il en faisait, même lorsqu'il était présent, communication par le questeur. Tout ce qu'il lisait lui-même, il le prononçait assis. Il fut le premier des Romains qui fit usage d'une chaise couverte; depuis lui, non-seulement les empereurs, mais nous aussi, lorsque nous avons passé par le consulat, nous avons une chaise; auparavant, Auguste et Tibère, ainsi que quelques autres, se faisaient porter parfois dans des litières semblables à celles dont les femmes se servent encore communément aujourd'hui. Néanmoins, ce ne furent pas tant ces infirmités que ses affranchis et les femmes avec qui il eut commerce, qui lui firent tort. Parmi ceux de sa famille, nul ne fut plus que lui dominé d'une façon aussi manifeste par les esclaves et par les femmes; car ayant été, dès son enfance, sujet aux maladies et d'une

declamat, σαφῶς dicere quæ dicenda sunt, non video. » — 6. Peir. om.: τήν γε πρώτην καὶ παρών. — 7. H om. — 8. C om. — 9. Quelques savants, Schottus, entre autres, voudraient lire νομίζονται; mais, dit Slbg, et son avis est aussi celui de Rm., νομίζουσι peut se supporter, l'*Index* en fournit plusieurs autres exemples. — 10. Peir. om.: καὶ ἐξ ἐκείνου... ἐφέροντο.

11. Les éd. de Xph. (mais non celle de Ddf) après ὁμοίων ajoutent οἰκείων, mot que *k* met en marge. — 12. K et les éd. de Xph. (mais non celle de Ddf) : ἔν τε ἅμα.

13. H, I : στραφείς. Suétone, 2 : « Diu, atque etiam post tutelam receptam, alieni arbitrii, et sub pædagogo fuit; quem barbarum et olim superjumentarium, ex industria sibi appositum, ut se quibuscumque de causis quam sævissime coërceret, ipse quodam libello conqueritur. »

τοῦτο ἐπὶ πλεῖον τῆς ἀληθείας εὐήθειαν προσποιησάμενος, ὅπερ που καὶ αὐτὸς ἐν τῇ βουλῇ ὡμολόγησε[1], καὶ πολὺν μὲν χρόνον τῇ τήθῃ Λιουΐᾳ[2], πολὺν δὲ καὶ τῇ μητρὶ Ἀντωνίᾳ, τοῖς τε ἀπελευθέροις, συνδιαιτηθεὶς, καὶ προσέτι καὶ ἐν συνουσίαις γυναικῶν πλείοσι γενόμενος, οὐδὲν ἐλευθεροπρεπὲς ἐκέκτητο, ἀλλὰ καίπερ καὶ τῶν Ῥωμαίων ἁπάντων καὶ τῶν ὑπηκόων αὐτῶν κρατῶν, ἐδεδούλωτο. Ἐπετίθεντο[3] δ' αὐτῷ ἔν τε τοῖς πότοις μάλιστα, καὶ ἐν[4] ταῖς μίξεσι· πάνυ γὰρ ἁπλήστως ἀμφοτέροις σφίσι προσέκειτο, καὶ ἦν ἐν τῷ καιρῷ τούτῳ εὐαλωτότατος[5]. Πρὸς δὲ καὶ δειλίαν εἶχεν, ὑφ' ἧς[6] πολλάκις ἐκπληττόμενος, οὐδὲν τῶν προσηκόντων ἐξελογίζετο. Καὶ αὐτοῦ καὶ τοῦτο προσλαμβάνοντες, οὐκ ἐλάχιστα κατειργάζοντο· ἐκεῖνόν[7] τε γὰρ ἐκφοβοῦντες, ἐξεκαρποῦντο, καὶ τοῖς ἄλλοις τοσοῦτον δέος ἐνέβαλλον, ὥσθ', ἵνα συλλαβὼν εἴπω, πολλοὶ ἐπὶ δεῖπνον ἐν τῇ αὐτῇ ἡμέρᾳ[8] ὑπό τε τοῦ Κλαυδίου καὶ ὑπ' αὐτῶν καλούμενοι, τὸν μὲν[9] ὡς καὶ κατ' ἄλλο τι[10] παρίεντο, πρὸς δὲ ἐκείνους ἐφοίτων.

R.p.941. 3. Τοιοῦτος οὖν δή τις, ὡς γε συνελόντι εἰπεῖν, ὢν,

1. Suétone, 38 : « Ac ne stultitiam quidem suam reticuit, simulatamque a se ex industria sub Caio, quod aliter evasurus perventurusque ad susceptam stationem non fuerit, quibusdam oratiunculis testatus est. » — 2. C, G : τήθῃ τῇ Λιουΐᾳ. Il s'agit de Livie, femme d'Auguste, grand-oncle de Claude par les femmes, Antonia Minor étant fille d'Octavie, sœur d'Auguste. Toutes les deux affectaient pour lui le plus profond mépris.

3. G : ἐπετίθετο ; C : ἐπετίθει. — 4. ἐ om.

5. Correction de Henri Étienne, confirmée par les mss. de Dion [et

timidité extrême, affectant pour cette raison, comme il l'avoua lui-même un jour dans le sénat, une sottise plus grande que celle qu'il avait réellement, longtemps dans la compagnie de son aïeule Livie, de sa mère Antonia et des affranchis, et, de plus, ayant eu des relations avec beaucoup de femmes, il n'y eut chez lui aucun sentiment libéral; et, bien qu'il fût maître de l'empire romain et de ses sujets, il n'en fut pas moins esclave. C'était surtout par les plaisirs de la table et de l'amour qu'on l'attaquait, car il avait pour les deux une passion insatiable, et, dans ces occasions, il était très-facile à circonvenir. En outre, il était d'une faiblesse de cœur qui, souvent, le saisissait si vivement, qu'il ne raisonnait plus. C'était par ce moyen que ceux qui s'étaient emparés de son esprit accomplissaient beaucoup de choses; ils l'effrayaient pour profiter de sa peur, et ils inspiraient aux autres tant de crainte, que, pour tout dire en un mot, bien des gens invités à souper, le même jour à la fois, et par Claude et par ses ministres, négligeaient l'invitation de l'empereur, comme chose indifférente, et se rendaient à celle des autres.

3. Bref, avec un tel caractère, Claude faisait beau-

par *k*], excepté E qui, comme les éd. de Xph. (mais non celle de Ddf), porte : εὐαλώτατος. — 6. G : ἐφ' ἧς.

7. Bkk. et Ddf; vulg. : καὶ ἐκεῖνον. — 8. C, G, K, Bkk. et Ddf, « quod recepissem, dit St., nisi R. hæc notasset : Castigati et vetutissimi auctores ἐν τῇ αὐτῇ ἡμέρᾳ dicebant, recentiores et negligentiores invertebant ordinem. » Vulg. : ἐν αὐτῇ τῇ ἡμέρᾳ.

9. Rm., d'après Xph., St., Bkk. et Ddf; les éd. antér. et C, G, E om.

10. Rsk. : « ὡς καὶ ἄλλο τι, vel ἄλλον τινά *tanquam rem* aut *hominem nauci.* »

οὐκ ὀλίγα καὶ δεόντως ἔπραττεν, ὁσάκις ἔξω [1] τε τῶν προειρημένων παθῶν ἐγίγνετο [2], καὶ ἑαυτοῦ ἐκράτει. Λέξω δὲ καὶ καθ' ἕκαστον ὧν ἐποίησε. Τὰ μὲν ψηφισθέντα οἱ εὐθὺς πάντα, πλὴν τῆς τοῦ Πατρὸς ἐπωνυμίας, ἐδέξατο [3] (ταύτην γὰρ μετὰ ταῦτα προσέθετο)· οὐ μέντοι καὶ παραυτίκα, ἀλλ' ὀψὲ καὶ τριακοστῇ ἡμέρᾳ ἐς τὴν βουλὴν ἐσῆλθε. Τόν τε γὰρ Γάϊον οὕτως ὁρῶν ἀπολωλότα, καὶ πυνθανόμενός τινας, ὡς καὶ βελτίονας ἑαυτοῦ, πρὸς τὴν ἀρχὴν ὑπ' αὐτῆς προβεβλῆσθαι, οὐκ ἐθάρσει, ἀλλὰ τά τε ἄλλα ἀκριβῶς ἐφυλάττετο, καὶ πάντας τοὺς προσιόντας οἱ καὶ ἄνδρας καὶ γυναῖκας ἐρευνᾶσθαι ἐποίει [4], μή τι ξιφίδιον ἔχωσιν [5]· ἔν τε τοῖς συμποσίοις πάντως τινὰς στρατιώτας συνόντας εἶχε. Καὶ τοῦτο μὲν ἐξ ἐκείνου καταδειχθὲν, καὶ δεῦρο ἀεὶ γίγνεται. Ἡ δὲ δὴ ἔρευνα ἡ διὰ πάντων, διὰ [6] Οὐεσπασιανοῦ ἐπαύσατο [7]. Τὸν μὲν οὖν Χαιρέαν [8], καί τινας ἄλλους, καίπερ πάνυ ἐπὶ τῷ τοῦ Γαΐου θανάτῳ ἡσθεὶς [9], ὅμως ἀπέκτεινεν· οὐ [10] γὰρ, ὅτι τὴν ἀρχὴν διὰ τὴν ἐκείνου πρᾶξιν εἰλήφει, χάριν αὐτῷ ἤδει, ἀλλ' ὅτι ἐτόλμησεν αὐτοκράτορα [11] ἀποσφάξαι [12], ἐδυσχέραινεν, πόῤῥωθεν τὸ καθ' ἑαυτὸν ἐς ἀσφάλειαν [13]

1. K, Ddf; vulg., les autres mss. et Bkk. : καὶ τῶν δεόντων ἔπραττεν, ὁπότε ἔξω. — 2. C : ἐγένετο.

3. Suétone, 12 : « In semet augendo parcus atque civilis, prænomine imperatoris abstinuit, » ce qui contredit Dion ; mais, au ch. 5, Dion dit encore que Claude ne prit aucun nom en dehors de ceux qui se rapportaient à son autorité, et qu'il refusa d'autres honneurs plus grands.

4. Cf. Suétone, 35. — 5. H : ἔχουσιν. — 6. Rsk. : « Forte διά in ἐπί mutandum, *imperitante Vespasiano.* » — 7. Suétone (Vespasien, 12) :

coup de choses bonnes, toutes les fois qu'il n'était pas sous l'influence des passions que j'ai dites et qu'il était maître de lui. Je vais rapporter ici le détail de ses actes. Il accepta immédiatement tous les honneurs qui lui étaient décernés, excepté le surnom de Père (il le prit dans la suite); néanmoins, il ne se rendit pas sur-le-champ au sénat, ce ne fut que tard et trente jours après son élection. Voyant de quelle manière avait péri Caius, et apprenant que plusieurs avaient été proposés par cette compagnie comme préférables à lui, il manquait de confiance, et, entre autres précautions dont il s'entourait, il faisait fouiller tous ceux qui l'approchaient, hommes et femmes, de peur qu'ils n'eussent un poignard; dans n'importe quels festins, il avait des soldats auprès de lui. Cette coutume, introduite par lui, subsiste encore de nos jours. Quant à l'usage de fouiller rigoureusement les gens, il fut aboli par Vespasien. Mais, pour revenir à Claude, bien qu'il fût content de la mort de Caius, il n'en fit pas moins mettre à mort Chéréas; loin de lui être reconnaissant d'une action qui lui avait valu l'empire, il le haïssait pour avoir osé assassiner son empereur, prenant de loin à l'avance des mesures en vue de

« Consuetudinem scrutandi salutantes, manente adhuc bello civili, omiserat. » — 8. C : Χαιρέα. — 9. C, G, H om. : ἄλλους... ἡσθείς.

10. Suétone, 11 : « Tribunis modo ac centurionibus paucis e conjuratorum in Caium numero interemptis, exempli simul causa, et quod suam quoque cædem depoposcisse cognoverat. » C, G, H : ἀπέκτεινε · οὐ.

11. C : ἐτόλμησε αὐτοκράτορα.

12. C, G : σῷξαι. — 13. Xph. : καθ' ἑαυτὸν ἀσφαλές, mieux suivant Rm.

προορώμενος. Ἔπραξε δὲ τοῦτο, οὐχ ὡς καὶ τῷ Γαΐῳ τιμωρῶν, ἀλλ' ὡς ἑαυτῷ ἐπιβουλεύσαντα[1] λαβών. Καί οἱ ὁ Σαβῖνος ἑκὼν συναπέθανε, μὴ ἀξιώσας κολασθέντος αὐτοῦ περιεῖναι[2]. Τοῖς γε μὴν ἄλλοις, οἳ τὴν δημοκρατίαν ἐκφανῶς ἐσπούδασαν, ἢ καὶ ἐπίδοξοι λήψεσθαι τὸ κράτος ἐγένοντο, οὐχ ὅσον οὐκ ἐμνησικάκησεν, ἀλλὰ καὶ τιμὰς καὶ ἀρχὰς ἔδωκεν· ἐκδηλότατα γὰρ καὶ ἐν τοῖς πάντων πώποτε[3], οὐ τῷ λόγῳ μόνον τὴν ἄδειαν σφίσι, κατὰ τὸν τῶν Ἀθηναίων ζῆλον[4], ὡς ἔλεγεν, ὑπέσχετο, ἀλλὰ καὶ τῷ ἔργῳ παρέσχε[5]. Τό τε ἔγκλημα τῆς ἀσεβείας ὁμοίως οὐκ ἐν τοῖς γράμμασι μόνοις, ἀλλὰ καὶ ἐν ταῖς πράξεσιν,
R.p. 942. ἔπαυσε· καὶ οὐδένα διὰ τοιοῦτό τι οὔτε ἐπὶ τοῖς προτέροις, οὔτε ἐπὶ[6] τοῖς ἔπειτα ἐκόλασε. Τούς γε μὴν ἀδικήσαντάς τι, ἢ καὶ προπηλακίσαντας αὐτὸν ἰδιώτην ὄντα (πολλοὶ δὲ ταῦτα ἄλλως τε ὡς μηδενὸς λόγου ἄξιον[7], καὶ οἱ μὲν τῷ Τιβερίῳ, οἱ δὲ τῷ Γαΐῳ χαριζόμενοι, ἐπεποιήκεσαν), πλαστῷ[8] μὲν ἐγκλήματι οὐδενὶ μετῆει· εἰ μέν-

1. K et Ddf : ἐπιβουλεύσαντα αὐτόν. Lncl., en marge : ἐπιβουλεύσοντα; Xph. : ἐπιβουλεύοντας τούτους.

2. Au rapport de Josèphe, Claude, non content de le renvoyer absous, lui avait rendu sa charge.

3. Ce passage a beaucoup exercé les commentateurs. Rm. et St. résument ainsi les diverses opinions : « Locus mendosus, X. Medelam quam Xyl. non attulerat Leunclavius hanc paravit : τούτοις πάντων τῶν πώποτε συμβεβηκότων [d'après Dion lui-même, dit Lncl. : τῶν συμβεβηκότων σφίσι, πολλῶν καὶ δεινῶν ὄντων, ἐπιλήσεσθε, discours de Cicéron, dans le sénat, sur l'amnistie après la mort de César]. Oddey : ἐκ τῶν πάντων πώποτε. Mihi autem simplicius videtur, sic confusioni librarii succurrere, ut casus duorum vocabulorum permutatos dicamus : καὶ ἐν πᾶσι τῶν πώποτε. Re. Fort. ἐν τοῖς τῶν πώποτε, *si quis unquam alius amnestiam exercuit*,

sa propre sûreté pour l'avenir. En apparence, ce ne fut pas pour venger Caius qu'il en agit ainsi, mais parce qu'il avait surpris Chéréas tramant un complot contre sa personne. Sabinus mourut volontairement avec Chéréas, ne croyant pas devoir survivre au supplice de son ami. Quant aux autres citoyens qui s'étaient déclarés partisans du gouvernement populaire ou qui jouissaient d'une considération assez grande pour arriver au pouvoir, non-seulement il ne montra aucun ressentiment contre eux, mais même il leur donna des honneurs et des charges; car, mieux que personne, il sut et promettre une amnistie, à l'exemple de celle des Athéniens, comme il le disait, et l'observer. Il abolit également les accusations de majesté, non pas par des édits, mais encore par ses actes, et il ne punit personne pour ces sortes de délits, soit antérieurs, soit postérieurs à son avénement. Ceux qui, pendant qu'il n'était que simple particulier, l'avaient offensé en paroles ou en actions (beaucoup l'avaient fait sans réflexion comme s'adressant à un homme de nulle valeur, pour complaire les uns à Tibère, les autres à Caius), ne furent de sa part exposés à aucune

vel maxime. R. [Le même savant avait aussi proposé : τοῖς πάνυ τῶν πώποτε.] Lege ἐν τοῖς πᾶσι πώποτε vel potius ἐν τοῖς πάντως πώποτε, scil. τὴν ἄδειαν ὑποσχομένοις καὶ παρεσχηκόσι. Baumgarten-Crusius ad Sueton. Claud. c. 11, St. » Il me semble plus simple d'y voir un mélange de deux tournures; ἐν τοῖς ἐκδηλότατα équivalant à ἐκδηλότατα πάντων comme ἐν τοῖς μάλιστα équivaut à μάλιστα πάντων, on aura écrit la deuxième en marge pour expliquer la première. La maladresse des copistes les aura recousues l'une à l'autre, et cette confusion se sera perpétuée dans les copies faites sur celle-là. Bkk. et Ddf ont conservé la vulgate.

4. H : αἱ ζῆλον (*sic*).

5. Suétone, 11, lui rend le même témoignage. — 6. G : οὔτ' ἐπί.

7. Cf. Suétone, 8 et aussi 38.

8. H : πλαστῶν.

τοι τι[1] ἄλλο κακουργοῦντας εὕρισκε, καὶ δι' ἐκεῖνα ἐτιμωρεῖτο.

4. Τά τε τέλη τὰ ἐπὶ τοῦ Γαΐου ἐσαχθέντα[2], καὶ τἄλλα ὅσα ἐπηγορίαν τινὰ τῶν πραχθέντων ὑπ' αὐτοῦ εἶχε, κατέλυσε μὲν, οὐκ ἀθρόα δὲ, ἀλλ' ὡς ἑκάστῳ πῃ προσέτυχε. Καὶ τοὺς ἐκπεσόντας ἀδίκως ὑπ' αὐτοῦ, τούς τε ἄλλους, καὶ τὰς ἀδελφὰς, τήν τε Ἀγριππῖναν καὶ τὴν Ἰουλίαν, καταγαγὼν, τὰς οὐσίας σφίσιν ἀπέδωκε[3]. Τῶν τε ἐκ τοῦ οἰκήματος (πλεῖστοι δὲ ἐδέδεντο) τοὺς μὲν ἐπ' ἀσεβείᾳ, τοιούτοις τέ τισιν ἐγκλήμασιν ἑτέροις[4] ἐμπεπτωκότας, ἀπῄλλαξε· τοὺς δ' ὄντως ἀδικοῦντας ἐκόλασε· σφόδρα γὰρ ἀκριβῶς σφᾶς ἐξήτασεν, ὅπως μήθ' οἱ κακουργήσαντές τι διὰ τοὺς συκοφαντουμένους ἀφεθῶσι, μήθ' οὗτοι δι' ἐκείνους παραπόλωνται. Καὶ καθ' ἑκάστην γε ὡς εἰπεῖν ἡμέραν, ἤτοι γε μετὰ πάσης τῆς γερουσίας, ἢ καὶ ἰδίᾳ, τὸ μὲν πλεῖστον ἐν τῇ ἀγορᾷ, ἤδη δὲ καὶ ἄλλοθι, ἐπὶ βήματος ἐδίκαζε[5]· καὶ γὰρ τὸ κατὰ τοὺς συνέδρους[6] ἐκλειφθὲν, ἐξ οὗ ὁ Τιβέριος ἐς τὴν νῆσον ἐξεχώρησεν, ἐνεώσατο. Πολλάκις δὲ καὶ τοῖς ὑπάτοις τοῖς τε στρατηγοῖς, καὶ μάλιστα τοῖς τὴν διοίκησιν ἔχουσι[7], συνεξητάζετο, καὶ ὀλίγα παντελῶς τοῖς ἄλλοις δικαστηρίοις ἐπέτρεπε.

1. K, St., Bkk. et Ddf; vulg. om. — 2. Sur ces impôts, cf. Suétone (Caligula, 40). — 3. Sur l'exil des deux sœurs de Caius, cf. LIX, 3.

4. G : ἑτέροις ἐγκλήμασι.

5. Suétone, 14 : « Jus et consul et extra honorem laboriosissime dixit, etiam suis suorumque solemnibus, non nunquam festis quoque antiquitus et religiosis. » Le discours que Claude, dans l'Apocolocyntose de

accusation déguisée; néanmoins, quand ils se trouvaient avoir commis quelque autre crime, ils étaient également punis de leurs offenses.

4. Il abolit les impôts établis sous le règne de Caius et rapporta celles des mesures prises par ce prince qui méritaient le blâme, sans toutefois le faire d'un seul coup, mais selon que l'occasion se présenta pour chacune d'elles. Il rappela les citoyens injustement exilés par son prédécesseur, ainsi qu'Agrippine et Julie, sœurs de Caius, à qui il rendit leurs biens. Parmi les citoyens jetés en prison (beaucoup étaient dans les fers), il fit relâcher ceux qui étaient accusés de lèse-majesté ou d'autres crimes de ce genre et punir ceux qui étaient véritablement coupables : il porta, en effet, une attention sérieuse à empêcher que ceux qui avaient commis quelque crime fussent relâchés parce qu'il y avait des calomniateurs, ou que les gens calomniés fussent confondus avec les coupables. Chaque jour, pour ainsi dire, il rendait la justice, soit en compagnie du sénat entier, soit en son particulier, la plupart du temps sur le Forum, quelquefois aussi dans un autre endroit, sur son tribunal; car il rétablit l'usage des assesseurs, usage tombé en désuétude depuis la retraite de Tibère dans son île. Souvent aussi il examinait les causes de concert avec les consuls et avec les préteurs, surtout avec ceux qui étaient chargés de l'administration du trésor public, et il en confiait fort peu aux autres tribunaux. Les nom-

Sénèque, tient à Hercule est aussi, malgré ce que la forme a de dérisoire, un témoignage rendu au zèle de ce prince.

6. Sur ces assesseurs semestriels, cf., pour Auguste, LIII, 21, et LVI, 28; pour Tibère, LVIII, 7.

7. L'administration du trésor public était, à cette époque, toujours confiée à quelques-uns des préteurs; Claude la rendit aux questeurs.

Τά τε φάρμακα, ἃ πολλὰ ἐν τοῦ Γαΐου εὑρέθη[1], καὶ τὰ βιβλία τὰ τοῦ Πρωτογένους[2], ὃν καὶ ἀπέκτεινε, τά τε γράμματα ἃ ἐπλάσσετο μὲν ὁ Γάϊος κεκαυκέναι, εὑρέθη δὲ ἐν τῷ βασιλικῷ ὄντα, τοῖς τε βουλευταῖς ἐπέδειξε, καὶ ἔδωκε καὶ αὐτοῖς ἐκείνοις τοῖς τε γράψασιν αὐτὰ, καὶ καθ' ὧν ἐγέγραπτο, ἀναγνῶναι· καὶ μετὰ τοῦτο κατέφλεξεν. Ἀλλὰ καὶ τῆς γερουσίας[3] ἀτιμῶσαι τὸν Γάϊον ἐθελησάσης, ψηφισθῆναι μὲν αὐτὸς[4] ἐκώλυσεν, ἰδίᾳ δὲ τὰς εἰκόνας αὐτοῦ νυκτὸς ἁπάσας ἠφάνισε[5]. Καὶ διὰ ταῦτα τὸ
R.p. 943. μὲν ὄνομα αὐτοῦ οὐκ ἔστιν ἐν τῷ καταλόγῳ τῶν αὐτοκρατόρων, ὧν μνήμην ἐπί τε τοῖς ὅρκοις καὶ ἐπὶ ταῖς εὐχαῖς ποιούμεθα[6], ὥσπερ οὐδὲ τὸ τοῦ Τιβερίου· οὐ μέντοι καὶ ἐκ δόγματος ἀτιμίαν οὐδέτερος[7] σφῶν ὤφλε.

5. Τὰ μὲν δὴ οὖν ὑπό τε τοῦ Γαΐου καὶ ὑφ' ἑτέρων δι' ἐκεῖνον οὐκ ὀρθῶς γενόμενα ἀνέτρεψε· τῷ δὲ δὴ Δρούσῳ τῷ πατρὶ τῇ τε Ἀντωνίᾳ τῇ μητρὶ ἱπποδρομίας ἐς τὰ γενέσια[8] ἔδωκε[9], τὰς πανηγύρεις, τὰς ἐς ταὐτὸν αὐταῖς συμβαινούσας, μεταθεὶς ἐς ἑτέρας ἡμέρας, ὅπως μὴ ἅμα ποιῶνται. Τήν τε τήθην τὴν Λιουΐαν οὐ μόνον ἵπποων ἀγῶσιν ἐτίμησεν, ἀλλὰ καὶ ἀπηθανάτισεν[10], ἄγαλμά

1. Vulg., E, G, Bkk. et Ddf; Rm. et St., d'après Zn. : ἐν τοῖς τοῦ Γαΐου εὑρέθη; de plus, Rm. serait tenté d'ajouter κιβωτίοις. Rsk.: « Ἐν τοῖς τοῦ, aut ἐκ pro ἐν lege. » Suétone (Caligula, 49) : « Inventa et arca ingens, variorum venenorum plena : quibus mox a Claudio demersis, infecta maria traduntur, non sine piscium exitio, quos enectos æstus in proxima littora ejecit. » Suétone, au ch. 55, parlant d'un poison appelé *Columbien* par Caligula, ajoute : « Sic certe inter alia venena scriptum ab eo repertum est. » — 2. Cf. LIX, 26. — 3. K et Ddf : κατέφλεξε. Τῆς τε

breux poisons trouvés dans les coffres de Caius, les livres de Protogène, qu'il fit mettre à mort, les lettres que Caius feignait d'avoir brûlées et qui furent retrouvées dans la demeure impériale, Claude les montra aux sénateurs, les donna à lire tant à ceux qui les avaient écrites qu'à ceux contre qui elles étaient écrites, et ensuite les livra aux flammes. Cependant, lorsque le sénat voulut noter Caius d'infamie, Claude s'opposa au décret, et, la nuit, il fit, en son privé nom, disparaître toutes les statues de ce prince. C'est pour cela que le nom de Caius, non plus que celui de Tibère, ne se trouve dans la liste des empereurs dont nous faisons mention soit dans nos serments soit dans nos prières; néanmoins ni l'un ni l'autre n'ont été notés d'infamie.

5. Claude rapporta donc les mesures injustes prises par Caius et par d'autres à cause de lui; il donna les jeux du cirque pour le jour natal de Drusus son père et pour celui d'Antonia sa mère, transportant à d'autres jours les jeux qui tombaient en même temps, afin qu'ils ne fussent pas célébrés ensemble. Non-seulement il honora la mémoire de son aïeule Livie par des jeux équestres, mais, de plus, il la mit au rang des déesses en lui

γερουσίας. — 4. Ddf : αὐτούς. Suétone, 11 : « Caii quoque et si omnia rescidit, diem tamen necis, quamvis exordium principatus sui, vetuit inter festos referri. » — 5. G, H : ἠφάνησε. — 6. Cf. LIX, 8. — 7. K : οὐδετέροις. 8. C : γενέθλια. — 9. Suétone, 11 : « ... Testatus quondam per edictum, tanto impensius petere se, ut natalem patris Drusi celebrarent, quod idem esset et avi sui Antonii. » — 10. Tibère (LVIII, 2) avait défendu de décréter à Livie les honneurs divins; Claude rend à son aïeule les bénéfices du décret que le sénat avait voulu lui accorder. C : ἀπηνάθησεν.

τέ τι αὐτῆς[1] ἐν τῷ Αὐγουστείῳ ἱδρύσας, καὶ τὰς θυσίας ταῖς ἀειπαρθένοις ἱεροποιεῖν προσταξας, ταῖς τε γυναιξὶν ὅρκον τὸ ὄνομα αὐτῆς ποιεῖσθαι κελεύσας[2]. Οὕτω δὲ δὴ τοὺς πατέρας ἀποσεμνύνας, αὐτὸς οὐδὲν ἔξω τῶν ὀνομάτων τῶν ἐς τὴν ἀρχὴν φερόντων ἐδέξατο· ἐν γὰρ δὲ τῇ τοῦ Αὐγούστου νουμηνίᾳ, ἐν ᾗ ἐγεγέννητο, ἠγωνίζοντο μὲν ἵπποι, οὐ δι' ἐκεῖνον δὲ, ἀλλ' ὅτι ὁ τοῦ Ἄρεως ναὸς ἐν ταύτῃ καθιέρωτο, καὶ διὰ τοῦτο ἐτησίοις[3] ἀγῶσιν ἐτέτίμητο. Ἔν τε οὖν τούτοις ἐμετρίαζε, καὶ προσαπηγόρευσε μήτε προσκυνεῖν τινα αὐτὸν, μήτε θυσίαν οἱ μηδεμίαν ποιεῖν. Τά τε ἐπιβοήματα τὰ πολλὰ καὶ ὑπέρογκα ἔπαυσε[4]· καὶ εἰκόνα μίαν[5], καὶ ταύτην ἀργυρᾶν, ἀνδριάντας τε δύο χαλκοῦ τε καὶ λίθου, ψηφισθέντας αὐτῷ τὰ πρῶτα ἔλαβε. Μάταια γὰρ πάντα[6] τὰ τοιαῦτα ἀναλώματα εἶναι, καὶ προσέτι πολλὴν μὲν ζημίαν, πολὺν δὲ[7] καὶ ὄχλον τῇ γε[8] πόλει[9] παρέχειν ἔλεγε· πάντες μὲν γὰρ οἱ ναοὶ, πάντα δὲ καὶ τὰ ἄλλα ἔργα καὶ ἀνδριάντων καὶ ἀναθημάτων ἐπεπλήρωτο, ὥστε καὶ περὶ ἐκείνων βουλεύσεσθαι[10] ἔφη ἃ δεῖ[11] πρᾶξαι. Τοῖς τε στρατηγοῖς τοὺς ἀγῶνας τοὺς ὁπλομαχικοὺς ἀπηγόρευσε μὴ ποιεῖν, καὶ εἰ δή τις ἄλλος αὐτοὺς ὁπουδήποτε ἐπιτελοίη, ἀλλὰ μή τι[12] γε ὡς καὶ ὑπὲρ τῆς[13] ἑαυτοῦ σωτηρίας γιγνομένων σφῶν ἢ γράφεσθαι ἢ καὶ

1. K, approuvé par St., Bkk. et Ddf.; vulg. om. — 2. Cf. LIX, 11, une prescription analogue de la part de Caius à l'égard de sa sœur Drusilla.

3. C, G : αἰτησίοις. — 4. C, G, H, K : ἔπαυε. — 5. Le mot μίαν, dans G, est en marge avec renvoi. — 6. Rsk. : ἔλαβε, μετὰ τοῦτο δ' ἀπεώσατο. Μάταια γαρ ἔφη πάντα. Rm. (*Addenda*) pense qu'il suffirait peut-être

consacrant une statue dans le temple d'Auguste, en prescrivant aux Vestales de lui offrir des sacrifices et en ordonnant aux femmes de jurer par son nom. Bien qu'ayant accordé de tels honneurs à ses parents, il n'acccepta pour lui-même d'autres noms que ceux qui se rapportaient à son autorité. Le premier jour des calendes d'Auguste, qui était le jour de sa naissance, il y eut des jeux équestres, non pas en son honneur, mais en celui de Mars dont le temple avait été dédié ce jour-là, jour qui était, en souvenir de cette dédicace, fêté par des jeux annuels. En cela Claude se tint dans les bornes de la modération; de plus, il défendit qu'on se prosternât devant lui et qu'on lui offrît aucun sacrifice. Il mit aussi un terme aux acclamations fréquentes et exagérées; il n'accepta d'abord qu'une seule figure de lui, et encore était-ce en argent, avec deux statues d'airain et de pierre, qui lui furent décernées par un décret. Ces sortes de dépenses étaient, disait-il, superflues, et occasionnaient de grandes pertes et de grands embarras pour la ville; tous les temples et tous les autres édifices étaient tellement remplis de statues et d'offrandes qu'il déclara vouloir délibérer sur le parti à prendre à leur égard. Il défendit aux préteurs de donner des combats de gens armés, et ordonna que, toutes les fois qu'une autre personne en donnerait, n'importe en quel endroit, on se gardât bien d'écrire ou de dire qu'on le faisait pour le salut

de changer γάρ en δέ pour rétablir la liaison, ou encore que l'on pourrait mettre une parenthèse. Du reste, il n'est pas éloigné de croire à une omission. — 7. G : πολλήν δέ. — 8. K : τε. — 9. G om.

10. G : βουλεύεσθαι. — 11. K et Ddf : χρή. — 12. Bkk. : μή τοι.

13. K, St., Bkk. et Ddf; vulg. om.

λέγεσθαι ἐκέλευσε. Καὶ οὕτω γε πάντα ταῦτα κρίσει καὶ οὐκ ἐπιτηδεύσει ἔπραττεν, ὥστε καὶ ἄλλα ὁμοίως ἔνεμε. Τὰς γοῦν θυγατέρας ἐν τῷ ἔτει τούτῳ, τὴν μὲν ἐγγυήσας Λουκίῳ Ἰουνίῳ[1] Σιλανῷ, τὴν δὲ ἐκδοὺς Γναίῳ Πομπηΐῳ Μάγνῳ, οὐδὲν ἐξαίρετον ἔπραξεν[2], ἀλλὰ καὶ αὐτὸς ἐν ταῖς ἡμέραις ἐκείναις ἐδίκασε, καὶ ἡ βουλὴ ἠθροίσθη. Τούς τε γαμβροὺς τότε τε ἐν τοῖς εἴκοσιν[3] ἀνδράσιν ἄρξαι,
R.p.944. καὶ μετὰ τοῦτο πολιαρχῆσαι ἐν ταῖς Ἀνοχαῖς ἐκέλευσε· καὶ ὀψέ ποτε[4] πέντε[5] ἔτεσι θάσσον τὰς ἄλλας ἄρχας αἰτῆσαι σφίσιν ἐπέτρεψε. Τούτου δὲ δὴ τοῦ Πομπηΐου ὁ Γάϊος τὴν τοῦ Μάγνου ἐπίκλησιν περιέκοψεν. Ὀλίγου μὲν γὰρ καὶ ἀπέσφαξεν αὐτὸν, ὅτι οὕτως ὠνομάζετο· ἀλλὰ τοῦτο μὲν καταφρονήσας ὡς καὶ παιδίου ἔτ' αὐτοῦ ὄντος, οὐκ ἐποίησε, τὴν δὲ δὴ πρόσρησιν[6] κατέλυσεν, εἰπὼν μὴ εἶναί οἱ ἀσφαλὲς, Μάγνον τινὰ προσαγορεύεσθαι. Ὅ γε μὴν Κλαύδιος καὶ ἐκεῖνο αὐτῷ τὸ πρόσρημα ἀπέδωκε, καὶ τὴν θυγατέρα προσσυνώκισε.

6. Ταῦτά τε οὖν ἐπιεικῶς ἔπραττε, καὶ τῶν ὑπάτων ἐν τῷ συνεδρίῳ καταβάντων ποτὲ ἀπὸ τῶν δίφρων, ἵνα διαλεχθῶσιν αὐτῷ, προσεξανέστη[7] τε καὶ ἀντιπροσῆλθε σφίσιν· ἐπεὶ ἔν γε τῇ Νεαπόλει καὶ παντάπασιν ἰδιωτικῶς

1. C : Ἰωνίῳ ; H : Ἰονίῳ. — 2. Suétone, 12 : « Sponsalia filiæ, natalemque geniti nepotis silentio, ac tantum domestica religione, transegit. » Claude eut deux filles : Antonia, d'Ælia Petina ; Octavie, de sa femme Messaline. Antonia fut mariée à Faustus Cornélius Sylla (Tacite, XIII, 23, et Suétone, 27) ; Octavie, fiancée à L. Junius Silanus, qui fut forcé de se donner la mort le jour même du mariage d'Agrippine avec Claude,

16. On voilait les statues des dieux pour qu'elles ne fussent pas souillées par le voisinage de choses funestes; peut-être aussi, ajoute Fabricius, était-ce un hommage rendu à la clémence que le prince avait montrée de son vivant, que de ne pas, même après sa mort, lui laisser voir de meurtres. — 17. Peir. om.

18. C, Bkk. et Ddf; vulg. : χαλκοῦν; Peir. : μηδὲ τὸν χαλκόν.

19. Ddf; C, E, G, K et Peir. : ἠξίουν. Robert Étienne, suivi par les autres éd., fait précéder ce mot de la négation οὐκ; Peir. (cf. la note précédente) a inséré plus haut μηδέ.

αὐτὸς [1] διεπίμπλατο· τά τε γὰρ ἄλλα [2] καὶ τοὺς διὰ μέσου τῆς θέας, παρὰ τὸν τοῦ ἀρίστου καιρὸν [3], κατακοπτομένους ἥδιστα ἐθεώρει, καίτοι [4] λέοντα δεδιδαγμένον ἀνθρώπους ἐσθίειν [5], καὶ πάνυ γε [6] διὰ τοῦτο τῷ πλήθει ἀρέσκοντα ἀποκτείνας, ὡς οὐ προσῆκον ὂν τοιοῦτό τι [7] θέαμα ὁρᾶν Ῥωμαίους [8]· ὅτι δὲ δὴ [9] σφίσι κοινῶς τε [10] ἐν τῇ θέᾳ συνῆν, καὶ παρεῖχεν ὅσα ἐβούλοντο, καὶ κήρυξι μὲν ἐλάχιστα ἐχρῆτο, τὰ δὲ δὴ πλείω ἐς σανίδας γράφων διεδήλου, σφόδρα ἐπῃνεῖτο.

14. Ἐθισθεὶς δ' οὖν αἵματος καὶ φόνων ἀναπίμπλασθαι, προπετέστερον καὶ ταῖς ἄλλαις σφαγαῖς ἐχρήσατο. Αἴτιοι [11] δὲ τούτων οἵ τε Καισάρειοι [12] καὶ ἡ Μεσσαλῖνα ἐγένοντο [13]· ὁπότε γὰρ ἀποκτεῖναί τινα ἐθελήσειαν, ἐξεφόβουν αὐτὸν [14],
p.952. κἀκ τούτου πάνθ' ὅσα ἐβούλοντο ποιεῖν ἐπετρέποντο [15]. Καὶ πολλάκις γε [16] ἐξαπιναίως ἐκπλαγείς, καὶ [17] κελεύσας τινὰ ἐκ τοῦ παραχρῆμα περιδεοῦς [18] ἀπολέσθαι, ἔπειτα ἀνενεγκὼν [19] καὶ ἀναφρονήσας, ἐπεζήτει τε [20] αὐτὸν, καὶ μαθὼν τὸ γεγονὸς, ἐλυπεῖτό τε καὶ μετεγίγνωσκεν. Ἤρξατο δὲ τῶν φόνων τούτων ἀπὸ Γαΐου Ἀππίου Σιλανοῦ [21]. Τοῦτον γὰρ [22],

1. K : τούτου αὐτός. Sur le plaisir que causait à Claude la vue du sang, cf. Suétone, 34. Cependant, dans la Consolation (26) adressée à Polybe, affranchi de ce prince, Sénèque vante beaucoup sa clémence et sa douceur.

2. Peir. om.: τά τε γὰρ ἄλλα. — 3. Cf. Suétone, 34. — 4. Peir. : ὅτι καί, au lieu de καίτοι. — 5. On avait coutume d'empêcher les animaux de dévorer les bestiaires, même lorsqu'ils étaient morts ou blessés.

6. Peir. om. : πάνυ γε. — 7. C : τοιούτου τι. — 8. Peir. om. : ὡς οὐ... Ῥωμαίους. — 9. Peir. om.: δὲ δή. — 10. Peir. om. — 11. Peir. : αἴτιον.

12. L'auteur, par ce mot de Césariens, désigne les gens du Palais, notamment les affranchis, et non, comme le veulent les dictionnaires histo-

sements, dans l'intervalle des spectacles, au moment de son dîner, il prenait plaisir à voir des combattants qui se déchiraient les uns les autres, et cela, bien qu'il eût fait tuer un lion instruit à manger des hommes et qui, pour ce sujet, était fort agréable au peuple, sous le prétexte qu'une pareille vue était indigne de Romains; mais les manières populaires qu'il montrait en assistant aux spectacles, la facilité avec laquelle il accordait tout ce qu'on lui demandait, et le peu d'usage qu'il faisait de hérauts, écrivant sur des tablettes la plupart de ses communications, lui attiraient de grands éloges.

14. Habitué à se repaître ainsi de sang et de meurtres, il n'en fut que plus porté à ordonner les autres supplices. Les auteurs de ces crimes furent les Césariens et Messaline. Quand ils voulaient tuer quelqu'un, ils effrayaient le prince et obtenaient ainsi la permission de faire tout ce qu'ils voulaient. Souvent même, frappé tout à coup de terreur, et ayant, dans le saisissement de la crainte, ordonné la mort de quelqu'un, lorsque ensuite il était revenu à lui et avait repris son calme, il le redemandait, et, en apprenant ce qui s'était passé, il en était chagrin et plein de repentir. Le premier de ces meurtres fut celui de C. Appius Silanus. Claude, après avoir mandé

riques, des gladiateurs destinés à combattre dans les jeux où assistaient les empereurs. Cf. l'*Index*. — 13. Peir. et Ddf; vulg. et Bkk. : ἐγένετο. Xph. : καὶ ἡ γυνὴ αὐτοῦ ἡ Μεσσαλίνα [*i* : Μεσαλίνα] διενεγκοῦσα τὰς κατ' αὐτὴν ἁπάσας ἀκολασίᾳ καὶ θράσει.

14. Cf. Suétone, 35 et 37. — 15. Peir. om. : ὁπότε... ἐπετρέποντο.

16. Bkk. et Ddf, vulg. : τε; Peir. : Ὁ δέ. — 17. Peir. om. : ἐκπλαγεὶς καί. — 18. Peir. om. — 19. Bkk. : ἔπειτ' ἀπενεγκών. — 20. Peir. om. Sur le fait historique, cf. Suétone, 39. — 21. Xph. : Σιλουανοῦ; G : Σαλανοῦ, et, plus bas, Σελανοῦ; C : Σύλλανοῦ (*sic*); H : Συλανοῦ, et plus bas, Σελανοῦ, comme G. — 22. Peir. : Ὅτι Γάϊος Σιλανόν, au lieu de : Τοῦτον γάρ.

εὐγενέστατον[1] ὄντα, καὶ τῆς Ἰβηρίας τότε ἄρχοντα, μεταπεμψάμενος, ὡς τι[2] αὐτοῦ δεόμενος, καὶ[3] τήν τε[4] μητέρα οἱ τὴν τῆς Μεσσαλίνης[5] συνοικίσας[6], καὶ αὐτὸν ἔν τε[7] τοῖς φιλτάτοις καὶ ἐν τοῖς[8] συγγενεστάτοις χρόνον τινὰ τιμήσας, ἔπειτ'[9] ἐξαίφνης ἔσφαξεν, ὅτι τῇ τε[10] Μεσσαλίνῃ προσέκρουσεν, οὐκ ἐθελήσας αὐτῇ συγγενέσθαι, πορνικωτάτῃ τε[11] καὶ ἀσελγεστάτῃ οὔσῃ, καὶ τῷ Νάρκίσσῳ τῷ ἀπελευθέρῳ αὐτοῦ, δι' ἐκείνην. Καὶ, οὐ γὰρ εἶχον οὔτε ἀληθὲς[12] οὔτε πιθανόν τι κατ' αὐτοῦ εἰπεῖν, συνέπλασεν[13] ὄναρ[14] ὁ Νάρκισσος ὡς σφαττόμενον τὸν Κλαύδιον ὑπὸ τοῦ Σιλανοῦ αὐτοχειρίᾳ ἰδών· καὶ αὐτός τε εὐθὺς ὑπὸ τὴν ἕω ἐν τῇ εὐνῇ οἱ ἔτ' ὄντι τὸ ὄναρ[15] ὑπότρομος διηγήσατο, καὶ ἡ Μεσσαλῖνα παραλαβοῦσα ἐδείνωσε. Καὶ ὁ μὲν οὕτως ἐξ ἐνυπνίου παραπώλετο.

15. Τελευτήσαντος δ' αὐτοῦ, οὐκέτι χρηστὴν ἐλπίδα οἱ[16] Ῥωμαῖοι τοῦ Κλαυδίου ἔσχον, ἀλλ' εὐθὺς αὐτῷ ἄλλοι τε, καὶ Ἄννιος[17] Οὐϊνικιανὸς[18] ἐπεβούλευσεν[19]. Οὗτός τε γὰρ ἐκ τῶν ἐς τὴν ἡγεμονίαν μετὰ τὸν τοῦ Γαΐου θάνατον προβληθέντων ἦν, καί τι[20] καὶ ἐκ τούτου δεδιὼς ἐνεωτέρισεν· ἐπειδή τε οὐδεμίαν ἰσχὺν ἐκέκτητο, ἔπεμψε πρὸς Φούριον Κάμιλλον Σκριβωνιανὸν, τῆς τε Δαλματίας ἄρ-

1. Peir. om. — 2. G : τε. — 3. Peir. om. : ὡς τι... δεόμενος καί. 4. Peir. om. — 5. G, H : Μεσαλίνης. — 6. C, G : συνοικήσας. 7. Peir. om. — 8. Peir. om. : ἐν τοῖς. — 9. Peir. om. 10. Peir. om. — 11. Peir. om. — 12. I et Ddf : οὔτ' [G : τ'; C om.] ἀληθές. — 13. G, i, St., Bkk. et Ddf, à cause des aoristes qui précèdent et qui suivent; vulg. : συνέπλασσεν. — 14. Omis dans E, K et dans les éd. de Xph., ce mot a été ajouté par Lncl. d'après i, k et Léonicène;

près de lui, comme s'il eût besoin de ses services, ce Silanus, qui était d'une haute naissance et alors gouverneur de l'Espagne, après l'avoir marié à la mère de Messaline et l'avoir quelque temps honoré comme l'un de ses plus grands amis et de ses plus proches parents, le fit ensuite mettre à mort tout à coup, pour avoir offensé Messaline en refusant les faveurs de cette femme impudique et luxurieuse, et, par elle, Narcisse, affranchi du prince. Narcisse, attendu qu'ils n'avaient rien de vrai ni de croyable à dire contre Silanus, imagina un songe où il avait vu Claude égorgé de la propre main de Silanus, et il vint, dès le point du jour, raconter, tout tremblant, ce songe au prince qui était encore au lit, et Messaline, reprenant le récit de Narcisse, l'exagéra encore. C'est ainsi que Silanus mourut victime d'un songe.

15. Silanus mort, les Romains n'espérèrent plus rien de bon de Claude, et des complots furent immédiatement tramés contre lui, entre autres par Annius Vinicianus. Vinicianus était un de ceux qui, après la mort de Caius, avaient été proposés pour l'empire, et la crainte que cela lui causait le poussa à la révolte. Comme il ne disposait d'aucunes forces, il envoya des messagers à Furius Camillus Scribonianus, gouverneur

il est confirmé par les autres mss. de Dion, et il a été adopté par les éd. subséq. — 15. G om. : τὸ ὄναρ.

16. E et les éd. antér. à Rm. omettent l'article; il est dans Xph. et dans les autres mss. — 17. *i* : Ἄνιος. — 18. Xld. et les éd. subséq.; de même les mss., excepté E, I, qui portent Οὐνικιανός, ainsi que Xph. qui ajoute : καὶ Φούριος Κάμιλλος ἐπαρχιῶν ἄρχοντες. — 19. St. préférerait ἐπιβούλευσαν. — 20. C, E : καί τοι.

χοντα, καὶ δύναμιν συχνὴν πολιτικὴν[1] καὶ ξενικὴν ἔχοντα, καὶ προσανέπεισεν αὐτὸν, καὶ καθ' ἑαυτὸν διανοούμενον, ἐπαναστῆναι[2], ἄλλως τε καὶ ὅτι ἐπίδοξος αὐταρχήσειν ἐγεγόνει. Πράξαντος δὲ αὐτοῦ τοῦτο, συχνοὶ μὲν καὶ βουλευταὶ καὶ ἱππεῖς πρὸς αὐτὸν ὥρμησαν[3]..... Οἱ γὰρ στρατιῶται, τοῦ Καμίλλου τό τε τοῦ δήμου σφίσιν ὄνομα προτείνοντος, καὶ τὴν ἀρχαίαν ἐλευθερίαν ἀποδώσειν ὑπισχνουμένου, ὑπώπτευσαν πράγματα αὖθις καὶ στάσεις[4] ἔξειν, καὶ οὐκέτ' αὐτῷ ἐπείσθησαν. Καὶ ὁ μὲν ἐκ τούτου φοβηθεὶς σφᾶς ἔφυγε, καὶ ἐς τὴν Ἴσσαν τὴν νῆσον
R.p.953. ἐλθὼν, ἐνταῦθα ἑκούσιος ἀπέθανε[5]· Κλαύδιος δὲ τέως μὲν πάνυ κατέδεισεν, ὥστε καὶ ἐθελοντὴς ἑτοίμως ἔχειν τοῦ κράτους αὐτῷ ἐκστῆναι[6]· τότε δὲ ἀναθαρσήσας, τοὺς μὲν στρατιώτας ἄλλοις[7] τέ τισιν ἠμείψατο, καὶ τῷ τὰ πολιτικὰ αὐτῶν στρατόπεδα, τό τε ἕβδομον καὶ τὸ ἐνδέκατον, καὶ Κλαυδίεια[8], καὶ Πιστὰ, καὶ[9] Εὐσεβῆ, καὶ πρὸς τῆς βουλῆς ἐπονομασθῆναι. Τοὺς δὲ συνεπιβουλεύσαντας[10] αὐτῷ ἀνεζήτησε, καὶ πολλοὺς ἐπὶ τούτῳ ἄλλους

1. E, K om. Xld., leçon confirmée par les autres mss. et suivie par les éd. subséq., a, le premier, ajouté ce mot. — 2. G : ἐπανιστῆναι.

3. Pas de lacune indiquée dans C, G, H, l. Oddey : « Forte τούτων ὀ' οὐκ ἀπώνατο, aut aliquid simile deest. » Il serait plus sûr, dit Rm., de suppléer d'après Xph. : ἀλλ' οὗτος μὲν ἔπειτα, ὑπὸ τῶν στρατιωτῶν ἐγκαταλειφθεὶς ἀπώλετο. Οὗτοι γὰρ τοῦ Καμίλλου κ. τ. λ. Je dois faire remarquer que Rm. arrange les paroles de Xiphilin.

4. K, Bkk. et Ddf, leçon que St. croit une glose; vulg. : μεταστάσεις.

5. Zn. est d'accord avec Dion sur ce point, mais Tacite (Hist., II, 75) le fait tuer par un simple soldat nommé Volaginius; Aurélius Victor dit qu'il fut mis à mort sur-le-champ; Suétone (13), que la rébellion fut étouffée dans l'espace de quinze jours.

de la Dalmatie, qui était à la tête d'une nombreuse armée composée de troupes romaines et étrangères, et, attendu surtout qu'il avait paru digne du pouvoir souverain, il poussa cet officier, qui en avait déjà la pensée secrète, à faire défection. Un grand nombre de sénateurs et de chevaliers se rendirent, en cette occurrence, auprès de Camillus... Les soldats, en effet, voyant Camillus mettre en avant le nom du peuple et promettre le rétablissement de l'antique liberté, craignirent de nouveaux ennuis et de nouvelles séditions, et ils cessèrent de lui obéir. Alors celui-ci effrayé s'enfuit de son camp, et, arrivé dans l'île d'Issa, se donna volontairement la mort. Quant à Claude, il avait été jusque-là tellement effrayé, qu'il était disposé à céder l'empire; mais alors, reprenant courage, il récompensa les soldats par des présents, puis la septième et la onzième légion romaine par le surnom de Claudiennes, de Fidèles et de Pieuses, qu'il leur fit accorder par le sénat. Il fit rechercher les complices de la conjuration, et mettre à

6. Suétone (36) : « Quasdam insidias temere delatas adeo expavit, ut deponere imperium tentaverit... (35) Motu civili, quum eum Camillus non dubitans etiam citra bellum posse terreri, contumeliosa et minaci et contumaci epistola cedere imperio juberet, vitamque otiosam in privata re agere; dubitavit, adhibitis principibus viris, an obtemperaret. »

7. G : ἄλλοι. — 8. Cf. LV, 23. C : Κλαυδεία. — 9. Rsk. croit que le καί doit être supprimé devant Εὐσεβῆ, ou qu'il y a là quelque chose de passé. Il est vrai que, dans les inscriptions, quand une légion romaine a deux noms, ils ne sont pas réunis par *et*; mais Dion n'est pas tenu, dans la traduction, à cette rigueur d'exactitude.

10. K, Bkk. et Ddf; de même C, qui, de plus, ajoute ὄῆ après ἐέ; vulg. : ἐπιβουλεύοντας.

τε καὶ στρατηγόν τινα, προαπειπόντα τὴν ἀρχὴν, ἀπέκτεινε[1]. Συχνοὶ δὲ καὶ ἑαυτοὺς, ἄλλοι τε καὶ ὁ Οὐϊνικιανὸς, κατεχρήσαντο[2]. Τῆς γὰρ ἀφορμῆς ταύτης ἥ τε Μεσσαλῖνα καὶ ὁ Νάρκισσος, ὅσοι τε[3] συνεξελεύθεροι αὐτοῦ, λαβόμενοι, οὐδὲν ὅ τι τῶν δεινοτάτων οὐκ ἐποίησαν. Τά τε γὰρ ἄλλα καὶ τοῖς δούλοις τοῖς τε ἀπελευθέροις μηνυταῖς κατὰ τῶν δεσποτῶν αὐτῶν ἐχρῶντο[4]. Καὶ[5] τούτους τε καὶ ἑτέρους καὶ[6] πάνυ εὐγενεῖς, οὐχ ὅτι ξένους ἀλλὰ καὶ πολίτας, οὐχ ὅτι δημότας ἀλλὰ καὶ ἐκ τῶν ἱππέων τῶν τε βουλευτῶν τινας, ἐβασάνιζον[7]· καίτοι τοῦ Κλαυδίου κατ' ἀρχὰς εὐθὺς τῆς ἡγεμονίας ὀμόσαντος μηδένα[8] βασανιεῖν ἐλεύθερον.

16. Ἄνδρες τε οὖν ἐν τούτῳ πολλοὶ καὶ γυναῖκες, καὶ ἐν αὐτῷ[9] γε εἰσὶν αἳ τῷ δεσμωτηρίῳ, ἐκολάσθησαν. Μέλλουσαί τε ἀποθνήσκειν, ἐπὶ βῆμα καὶ αὐταὶ ἀνήγοντο δεδεμέναι, ὥσπερ αἰχμάλωτοι, καὶ τὰ σώματα καὶ ἐκείνων ἐς τοὺς ἀναβασμοὺς ἐῤῥιπτεῖτο[10]· τῶν γὰρ ἔξω που θανατωθέντων αἱ κεφαλαὶ μόναι ἐνταῦθα προετίθεντο[11]. Ἤδη δ' οὖν τινες καὶ τῶν πάνυ ὑπαιτίων, οἱ μὲν χάρισιν, οἱ δὲ χρήμασιν, ὑπό τε[12] τῆς Μεσσαλίνης καὶ ὑπὸ τῶν περὶ τὸν Νάρκισσον

1. Suétone, 29 : « L. Silanus abdicare se prætura ante quartum calendas Januarias, morique initio anni coactus. » Cf. Tacite, XII, 40.

2. C : κατεχρήσατο. — 3. Rsk., St., Bkk. et Ddf; vulg. : γε. Rsk. : « Οἵ τε (pro ὅσοι τε). Syllaba ος repetita vitiose fuit ex præcedentis vocis fine. »

4. Nous avons vu (ch. 13) Claude punir les esclaves et les affranchis coupables envers leurs maîtres ou leurs patrons.

5. Bkk. et Ddf; vulg. om. — 6. C om. — 7. Esclave de sa femme et

mort, entre autres, un préteur, après qu'il eut abdiqué sa charge. Beaucoup aussi, et entre autres Vinicianus, se tuèrent eux-mêmes. Car Messaline, Narcisse et les affranchis de Claude saisirent ce prétexte pour se porter à tous les excès. Entre autres moyens, ils avaient recours à la dénonciation des maîtres par leurs esclaves et par leurs affranchis. Ils les mettaient à la torture, eux et d'autres personnes nobles, non-seulement des étrangers, mais aussi des citoyens, non-seulement des plébéiens, mais encore des chevaliers et des sénateurs, bien que Claude, au commencement de son règne, eût juré de ne mettre à la torture aucune personne libre.

16. Beaucoup d'hommes et de femmes, quelques-unes dans la prison même, furent, en cette circonstance, livrés au supplice. Les femmes condamnées à mourir étaient amenées au tribunal chargées de chaînes comme des captives, et leurs corps, à elles aussi, étaient précipités aux Gémonies; car les têtes seules de ceux qui étaient mis à mort hors de la prison étaient exposées en cet endroit. Néanmoins quelques-uns des plus coupables échappèrent par faveur et par argent, grâce à l'intervention de Messaline et des Césariens qui

de ses affranchis, Claude (Suétone, 29) signa l'arrêt de mort de trente-cinq sénateurs et de plus de trois cents chevaliers. Dion nous apprend, de plus, qu'ils furent mis à la torture, traitement réservé, jusqu'à Tibère et à Caius, aux seuls esclaves. — 8. C : καὶ μηδένα. — 9. St. voulait d'abord lire ἐν αὐταῖς, mais, dans ses *Addenda*, il conserve ἐν αὐτῷ, qui, dit-il, « cohæret cum τῷ δεσμωτηρίῳ. » — 10. K, St., Bkk. et Ddf; vulg. : ἐρρίπτοῦντο.

11. G : προσετίθετο. — 12. C, G om. : ὑπάτων. . . ὑπό τε.

Καισαρείων περιεγένοντο[1]. Καὶ οἵ γε παῖδες τῶν ἀπολλυμένων τὴν μὲν ἄδειαν πάντες, εἰσὶ δὲ οἳ καὶ χρήματα ἐλάμβανον. Ἐκρίνοντο δὲ ἐν τῷ συνεδρίῳ, τοῦ τε Κλαυδίου, καὶ τῶν ἐπάρχων τῶν τε ἐξελευθέρων[2] αὐτοῦ παρόντων· τὴν μὲν γὰρ ἐσήγησιν ἐν μέσῳ τῶν ὑπάτων[3], ἐπὶ δίφρου ἀρχικοῦ ἥ καὶ ἐπὶ βάθρου καθήμενος, ἐποιεῖτο[4]· μετὰ δὲ τοῦτο αὐτός τε ἐπὶ τὴν συνήθη ἕδραν μετήρχετο, καὶ ἐκείνοις οἱ δίφροι ἐτίθεντο. Καὶ ταῦτα μὲν καὶ ἐπὶ τῶν ἄλλων τῶν μεγίστων ὁμοίως ἐγίγνετο· τότε δὲ Γάλαισός τις, ἀπελεύθερος τοῦ Καμίλλου[5], πολλὰ μὲν καὶ ἄλλα, ἐσαχθεὶς ἐς τὸ βουλευτήριον, ἐπαῤῥησιάσατο, ἓν δὲ δὴ
R.p.954. καὶ τόδε μνήμης ἄξιον. Τοῦ γὰρ Ναρκίσσου παρελθόντος ἐς τὸ μέσον, καὶ εἰπόντος αὐτῷ, « Τί ἂν ἐποίησας, Γάλαισε, εἰ Κάμιλλος ἐμεμοναρχήκει; » ἀπεκρίνατο ὅτι, « Ἑστήκειν ἂν ὄπισθεν αὐτοῦ καὶ ἐσιώπων. » Αὐτός τε οὖν ἐπὶ τούτῳ, καὶ Ἀρρία αὖ[6] ἐφ' ἑτέρῳ ὀνομαστοὶ ἐγένοντο. Αὕτη γὰρ, γυνὴ Καικίνου[7] Παίτου[8] οὖσα, οὔτ' ἠθέλησε θανατωθέντος αὐτοῦ ζῆσαι, καίπερ καὶ ἐν τιμῇ τινι εἶναι δυναμένη (τῇ γὰρ Μεσσαλίνῃ σφόδρα ᾠκειοῦτο), καὶ προσέτι καὶ τὸν ἄνδρα ἀποδειλιῶντα ἐπέῤῥωσε· τὸ γὰρ

1. G : περιγένοντο. — 2. K et Ddf; vulg. et Bkk. : ἐπάρχων τε καὶ τῶν ἐξελευθέρων. — 3. G : ἐν μέσῳ αὐτῶν. — 4. Suétone, 23 : « De majore negotio acturus in curia, medius inter consulum sellas tribunitio subsellio sedebat. »

5. Les *Excerpta Vaticana* portent Sabinus, par confusion, sans doute, avec le Sabinus dont la mort a été rapportée au commencement de ce livre.

6. A. Mai : « Hæc a Zonara aliisque historicis dicitur Arria. Cetero-

entouraient Narcisse. Aucun des enfants de ceux qui périrent ne furent inquiétés, quelques-uns même eurent les biens de leurs pères. Les informations avaient lieu dans l'assemblée du sénat, en présence de Claude, des préfets du prétoire et des affranchis du prince. Claude faisait lui-même le rapport, assis au milieu des consuls, sur la chaise curule ou sur le banc des tribuns; après quoi, il retournait à sa place ordinaire, et on plaçait des siéges pour ces magistrats aussi. Ces formalités s'observaient également dans les affaires les plus importantes; mais alors un certain Galèse, affranchi de Camillus, ayant été amené dans le sénat, fit entendre, entre autres paroles libres, celle-ci qui mérite d'être rapportée. Narcisse s'étant avancé au milieu de l'assemblée et lui ayant demandé: « Qu'aurais-tu fait, Galèse, si Camillus eût régné? » — « Je me serais, répondit celui-ci, tenu debout derrière lui en silence. » Galèse par ce mot, Arria par un autre, ont rendu leur nom célèbre. Arria, femme de Cæcina Pætus, ne voulut pas survivre à son mari condamné à mort, bien qu'elle pût, en le faisant, jouir d'une certaine considération (elle était, en effet, grande amie de Messaline); bien plus, le voyant trembler, elle le rassura : saisisissant l'épée de son mari, elle s'en porta

quin Vaticanæ lectionis vestigium inest in Dione edito Ἀρρία αὖ, quæ sine dubio est corruptio scripturæ Ἀρριάμη. »

7. E, G, I : Καικήνου. — 8. Rm. : « Καικίνου ὑπάτου [Fabricius : imo ὑπατικοῦ], HS., L., Z., Léon., RS. Καικίνου Παίτου legendum, ut perspexit Jo. Masson in Vita Plinii, p. 12, et ante eum Catanæus ad Plinii Epist. III, 18; Lipsius ad Taciti Ann. XVI extr.; Paulus Leopardus, Emendat. I, 17, itemque Perizonius, Animadvers. hist. c. 10, p. 432 sq. » St., Bkk. et Ddf se sont rangés à cet avis. C, I om.

ξίφος λαβοῦσα, ἑαυτήν τε[1] ἔτρωσε, καὶ ἐκείνῳ ὤρεξεν, εἰποῦσα, « Ἰδού, Παῖτε[2], οὐκ ἀλγῶ. » Καὶ οἱ μὲν ἐπῃνοῦντο· ἤδη γὰρ ὑπὸ τῆς συνεχείας τῶν κακῶν ἐς τοῦτο[3] τὰ πράγματα προεληλύθει, ὥστ' ἀρετὴν μηκέτ' ἄλλο μηδὲν, ἢ τὸ γενναίως ἀποθανεῖν, νομίζεσθαι. Κλαύδιος δὲ οὕτω που[4] πρὸς τὴν τιμωρίαν τήν τε ἐκείνων καὶ τὴν τῶν ἄλλων ἔσχεν, ὥστε καὶ σύνθημα τοῖς στρατιώταις τὸ ἔπος τοῦτο συνεχῶς διδόναι[5], ὅτι χρὴ

Ἄνδρ' ἀπαμύνασθαι[6] ὅτε τις πρότερος[7] χαλεπήνῃ.

Καὶ ἄλλα δὲ πολλὰ καὶ πρὸς ἐκείνους καὶ πρὸς τὴν βουλὴν τοιουτότροπα Ἑλληνιστὶ[8] παρεφθέγγετο· ὥστε καὶ γέλωτα παρὰ τοῖς δυναμένοις ἔστιν ἃ[9] αὐτῶν[10] ἐγένετο συνεῖναι ὀφλισκάνειν. Τότε μὲν δὴ ταῦτά τε[11] ἐγένετο· καὶ οἱ δήμαρχοι, τελευτήσαντος σφῶν ἑνὸς, αὐτοὶ τὴν γερουσίαν ἐς τὸ[12] τὸν δημαρχήσοντα ἀντικαταστῆσαι, καίτοι τῶν ὑπάτων παρόντων, ἤθροισαν.

17. Μετὰ δὲ τοῦτο ὁ Κλαύδιος ὑπατεύσας αὖθις τὸ τρίτον, πολλὰς μὲν θυσίας, πολλὰς δὲ καὶ ἱερομηνίας ἔπαυσε· τό τε γὰρ πλεῖστον τοῦ ἔτους ἐς αὐτὰς ἀνηλί-

1. G, K, Bkk. et Ddf; vulg. om. — 2. Fabricius, Perizonius, Rm., St., Bkk. et Ddf; vulg. et E : παῖ; Zn., Léonicène, C, G, I : παῖε. Sur le fait, cf. la note 155 dans Rm.

3. Xph. : τοσοῦτο. — 4. C : πω. — 5. K, Bkk. et Ddf; vulg. om.

6. C, E, G, K : ἄνδρα ἀμύνεσθαι.

7. Xph et les *Excerpta Vaticana* : πρότερον. Ce vers se trouve trois fois dans Homère (Il., XXIV, 369; Od., XVI, 72, et XXI, 133), et partout il se lit tel qu'il est ici; de même dans Suétone, 42 : « Quo-

un coup, puis elle la lui présenta en disant : « Tiens, Pætus, cela ne fait pas de mal. » On leur donna des éloges : car, par la continuité des maux, on en était venu au point qu'on ne voyait plus la vertu que dans le courage de mourir. Quant à Claude, il avait tellement à cœur leur punition et celle des autres coupables, qu'il donnait sans cesse comme mot d'ordre aux soldats ce vers, « qu'il faut

Se venger de qui nous a le premier fait une injure. »

Il leur faisait aussi, à eux et au sénat, une foule de citations grecques de ce genre, et dont quelques-unes excitaient le rire de ceux qui étaient capables de les comprendre. Voilà ce qui se passait alors; de plus, un des tribuns étant mort, ses collègues, bien que les consuls fussent présents, convoquèrent eux-mêmes le sénat pour lui élire un successeur.

17. Ensuite Claude, étant consul pour la troisième fois, abolit un grand nombre de sacrifices et de fêtes qui occupaient la plus grande partie de l'année au

An de Rome 796. Claude consul III et Vitellius consul II.

tles quidem hostem vel insidiatorem ultus esset, excubitori tribuno signum de more poscenti, non temere aliud dedit quam Ἀνδρ' ἀπαμύνασθαι. . . . »

8. G : Ἑλληνιστή. Suétone : « Multum pro tribunali etiam Homericis versibus locutus est. » — 9. G : εἶπεν ἅ, au lieu de ἔστιν ἅ.

10. C : αὐτῷ.

11. K : (« non male », dit St.), Bkk. et Ddf; vulg. om. — 12. Lncl. et les éd. subséq.; vulg. om.

σκετο, καὶ τῷ δημοσίῳ ζημία οὐκ ἐλαχίστη ἐγίγνετο[1]. Ταύτας τε οὖν συνέτεμε, καὶ τἆλλα[2] ὅσα ἐνεδέχετο συνέστειλε. Καὶ τὰ μὲν ὑπὸ τοῦ Γαΐου μήτε ἐν δίκῃ μήτε ἐν
R.p.955. λόγῳ τινὶ δοθέντα τισὶν ἀπήτησε· τοῖς δὲ ὁδοποιοῖς ἀπέδωκεν ὅσα ἐπ' αὐτοῦ[3] διὰ τὸν Κορβούλωνα ἐζημίωντο. Πρὸς δ' ἔτι, τοῖς ἄρχουσι τοῖς κληρωτοῖς, βραδέως ἔτι καὶ τότε ἐκ τῆς πόλεως ἐξορμωμένοις, προεῖπε, πρὶν μεσοῦν τὸν Ἀπρίλιον[4] ἀπαίρειν. Τούς τε Λυκίους στασιάσαντας ὥστε καὶ Ῥωμαίους τινὰς ἀποκτεῖναι, ἐδουλώσατό τε, καὶ ἐς τὸν τῆς Παμφυλίας νομὸν ἐσέγραψεν. Ἐν δὲ δὴ τῇ διαγνώσει ταύτῃ (ἐποιεῖτο δὲ αὐτὴν ἐν τῷ βουλευτηρίῳ) ἐπύθετο τῇ Λατίνων γλώσσῃ τῶν πρεσβευτῶν τινος, Λυκίου μὲν τὸ ἀρχαῖον ὄντος, Ῥωμαίου δὲ γεγονότος· καὶ αὐτὸν, ἐπειδὴ μὴ συνῆκε τὸ λεχθὲν, τὴν πολιτείαν ἀφείλετο, εἰπὼν μὴ δεῖν Ῥωμαῖον εἶναι τὸν μὴ καὶ τὴν διάλεξιν σφῶν ἐπιστάμενον. Συχνοὺς δὲ δὴ καὶ ἄλλους ἀναξίους[5] τῆς πολιτείας ἀπήλασε, καὶ ἑτέροις αὐτὴν καὶ πάνυ ἀνέδην[6], τοῖς μὲν κατ' ἄνδρα, τοῖς δὲ καὶ ἀθρόοις, ἐδίδου. Ἐπειδὴ γὰρ ἐν πᾶσιν, ὡς εἰπεῖν, οἱ Ῥωμαῖοι τῶν ξένων προετετίμηντο[7] πολλοὶ αὐτὴν[8] παρά τε ἐκείνου αὐτοῦ ἠτοῦντο, καὶ παρὰ τῆς Μεσσαλίνης[9] τῶν τε Καισαρείων

1. Auguste (Suétone, 32) avait déjà auparavant rendu aux affaires plus de trente jours occupés à des jeux honoraires. — 2. G, I et Ddf : τὰ ἄλλα. — 3. K, Bkk. et Ddf; vulg. : ὑπ' αὐτοῦ. Cf. LIX, 15.

4. Cf. ch. 11. Avec Bkk. et Ddf, je suis l'orthographe latine en écrivant par un seul λ.

5. K et Ddf : καὶ ἀναξίους. Fabricius : « Apertior sententia fuerit, si scripseris ἀναξίως, *nullo suo merito*. Casaub. ad Suet., Claud., 17. *In-*

grand détriment de l'État. Il les supprima donc et abrégea tout ce qu'il était possible d'abréger dans les autres. Il força plusieurs citoyens de rapporter les sommes que Caius leur avait données sans justice et sans raison, et restitua aux curateurs des routes les amendes que sous ce règne Corbulon leur avait infligées. De plus, il enjoignit aux gouverneurs de provinces tirés au sort, qui alors encore tardaient à quitter Rome, d'avoir à partir avant le milieu d'avril. Les Lyciens, dans une sédition, étant allés jusqu'à tuer des citoyens romains, perdirent leur liberté et furent réunis à la préfecture de Pamphylie. Claude, dans le courant de l'information (il la fit dans le sénat), interrogea en latin un des députés, Lycien d'origine mais devenu Romain; celui-ci n'ayant pas compris la question, il lui enleva le droit de cité, en disant qu'on ne devait pas être citoyen de Rome quand on n'en savait pas la langue. Il priva aussi de ce droit beaucoup de gens qui en étaient indignes, et le donna sans retenue à d'autres, tantôt individuellement, tantôt en masse. En effet, les Romains étant, en toutes choses, pour ainsi dire, préférés aux étrangers, beaucoup lui demandaient le droit de cité, ou l'achetaient de Messaline et des Césariens; aussi ce droit, vendu à haut prix

dignos reddiderat X et in contrarium sensum vertit Leon. » — 6. Lncl. et les éd. subséq.; C, E, I, G : ἀναίδην. — 7. G : προσετετίμητο.

8. C, I, St., Bkk. et Ddf; Rm. : « Πολλοί τε αὐτήν, scil. πολιτείαν. Sic scribendum esse vidit quoque L. pro vulgato Πολλοὶ αὐτοί. Confirmat emendationem lectio Xiphilini, quanquam non satis integra, πολλοί τε αὐτόν, ubi pariter αὐτήν restituendum. » Slbg : « αὐτό, vel αὐτήν restituendum s. πολιτείαν. » — 9. I : Μεσαλίνης.

ὠνοῦντο· καὶ διὰ τοῦτο μεγάλων τὸ πρῶτον χρημάτων πραθεῖσα, ἔπειθ' οὕτως ὑπὸ τῆς εὐχερείας ἐπευωνίσθη[1], ὥστε καὶ λογοποιηθῆναι, ὅτι κἂν ὑάλινά[2] τις σκεύη συντετριμμένα δῷ τινι, πολίτης ἔσται. Ἐπὶ μὲν οὖν τούτῳ[3] διεσκώπτετο· ἐπὶ δ' ἐκείνῳ ἐπῃνεῖτο, ὅτι πολλῶν συκοφαντουμένων, τῶν μέν, ὅτι τῇ τοῦ Κλαυδίου προσρήσει οὐκ ἐχρῶντο[4], τῶν δέ, ὅτι μηδὲν αὐτῷ τελευτῶντες κατέλειπον[5], ὡς καὶ ἀναγκαῖον[6] τοῖς τῆς πολιτείας παρ' αὐτοῦ τυχοῦσιν ἑκάτερον[7] ποιεῖν· ἀπηγόρευσε μηδένα ἐπ' αὐτοῖς εὐθύνεσθαι. Ἡ δ' οὖν Μεσσαλῖνα, οἵ τε ἀπελεύθεροι αὐτοῦ οὕτως οὐ τὴν πολιτείαν μόνον, οὐδὲ τὰς στρατείας,
R. p. 956. καὶ τὰς ἐπιτροπείας, τάς τε ἡγεμονίας, ἀλλὰ καὶ τἄλλα πάντα[8] ἀφειδῶς ἐπώλουν καὶ ἐκαπήλευον[9], ὥστε σπανίσαι πάντα τὰ ὤνια[10]· κἀκ τούτου καὶ τὸν Κλαύδιον ἀναγκασθῆναι ἔς τε τὸ Ἄρειον πεδίον συναγαγεῖν τὸ πλῆθος, κἀνταῦθα ἀπὸ βήματος τὰς τιμὰς αὐτῶν διατάξαι. Αὐτὸς μὲν οὖν ὁπλομαχίας ἀγῶνα ἐν τῷ στρατοπέδῳ, χλαμύδα ἐνδὺς[11], ἔθηκε[12]· τὰ δὲ δὴ γενέθλια τὰ τοῦ υἱέος[13] αὐτοῦ οἱ στρατηγοὶ ἐθελονταὶ θέας τέ τινος ποιήσει καὶ δείπνων

1. Rm., d'après Xph., St., Bkk. et Ddf; vulg. et E : ἐπευιωνήθη.

2. K : ὑάλια. — 3. C, G : Ἐπεὶ μὲν οὖν τοῦτο. Dans C, dit M. Gros, on voit facilement que le copiste avait d'abord écrit τούτῳ; la trace de l'accent aigu et de l'ῳ est sensible.

4. De même que les fils adoptifs et les affranchis prenaient le nom de celui qui les adoptait ou les affranchissait; de même ceux qui recevaient le droit de cité prenaient volontiers le nom du citoyen à qui ils en étaient redevables; c'est ainsi, pour n'en citer que cet exemple, que l'historien Josèphe fut appelé Flavius en l'honneur de Vespasien. — 5. I et St. : κατέλιπον. — 6. K, St., Bkk. et Ddf; vulg. om. — 7. A partir de ἑκά-

d'abord, tomba plus tard si bas, par suite de la facilité de l'obtenir, qu'on disait communément qu'en donnant à quelqu'un des vases de verre, quand même ils seraient cassés, on était citoyen romain. Claude, sur ce chef, fut exposé aux railleries, mais il s'attira des éloges pour ce que, plusieurs personnes étant accusées, celles-ci de ne pas prendre le nom de Claude, celles-là de ne rien lui laisser en mourant, comme si l'un et l'autre eût été obligatoire à ceux qui avaient reçu de lui le droit de cité, il défendit d'inquiéter qui que ce fût à raison de ces faits. Messaline et les affranchis du prince vendaient, comme de vrais cabaretiers, avec si peu de réserve, non-seulement le droit de cité, ou les charges militaires et celles de procurateur et de gouverneur, mais encore tout le reste, que toutes les denrées devinrent rares, et que, par suite, Claude fut forcé de convoquer le peuple dans le Champ-de-Mars, et, là, de fixer, du haut d'un tribunal, le prix des divers objets. Il donna en personne, dans le camp des prétoriens, un combat de gladiateurs, revêtu d'une chlamyde; les préteurs, de leur propre mouvement, célébrèrent le jour natal de son fils par des

τερον jusqu'à (ch. 20) ποταμῷ « complexum folium deest in codice Veneto, » dit Ddf. — 9. Cf. Suétone, 26 et 29.

10. Le monopole de la vente des choses nécessaires concédé, moyennant de grosses sommes, à des gens avides avait fait augmenter les prix de tout. —11. La chlamyde ressemblait beaucoup au paludamentum.

12. Jeux donnés (Suétone, 21) dans le camp des prétoriens, sans appareil ni combat de bêtes, le 24 janvier de chaque année, pour l'anniversaire de son avénement à l'empire.

13. C, G, I, Bkk. et Ddf; vulg. : υἱοῦ. Sur la naissance de ce fils, cf. ch. 12.

ἑώρτασαν. Καὶ τοῦτο[1] καὶ αὖθις, ὅσοις γε καὶ ἔδοξεν αὐτῶν[2], ἐπράχθη.

18. Μεσσαλῖνα δὲ ἐν τούτῳ αὐτή τε ἠσέλγαινε, καὶ τὰς ἄλλας γυναῖκας ἀκολασταίνειν ὁμοίως[3] ἠνάγκαζε· καὶ πολλάς γε καὶ ἐν αὐτῷ τῷ παλατίῳ, τῶν ἀνδρῶν παρόντων καὶ ὁρώντων, μοιχεύεσθαι ἐποίει. Καὶ ἐκείνους μὲν καὶ ἐφίλει καὶ ἠγάπα, τιμαῖς τε καὶ ἀρχαῖς ἤγαλλε· τοὺς δ' ἄλλους τοὺς μὴ[4] συγκαθιέντας σφᾶς ἐς τοῦτο καὶ ἐμίσει καὶ ἀπώλλυε[5]. Καὶ ταῦτα μέντοι, τοιαῦτά τε[6] ὄντα, καὶ ἀναφανδὸν οὕτω γιγνόμενα, τὸν Κλαύδιον ἐπὶ πλεῖστον ἔλαθεν[7]· ἐκείνῳ τε γὰρ θεραπαινίδιά[8] τινα συμπαρακατέκλινε[9], καὶ τούς τι δυναμένους οἱ μηνύσαι, τοὺς μὲν εὐεργεσίαις, τοὺς δὲ καὶ τιμωρίαις προκατελάμβανεν· ὥσπερ καὶ τότε καὶ Κατώνιον Ἰοῦστον[10], τοῦ τε[11] δορυφορικοῦ ἄρχοντα, καὶ δηλῶσαί[12] τι αὐτῷ περὶ τούτων ἐθελήσαντα, προδιέφθειρε[13]. Τήν τε Ἰουλίαν, τὴν τοῦ Δρούσου μὲν[14] τοῦ Τιβερίου παιδὸς θυγατέρα, τοῦ δὲ δὴ Νέρωνος τοῦ Γερμανικοῦ γυναῖκα γενομένην, ζηλοτυπήσασα, ὥσπερ καὶ τὴν ἑτέραν[15], ἀπέσφαξε. Καί τις ἐν τούτῳ[16]

1. G : τοῦτον. — 2. Rm. : « Forte τι αὐτῶν, Od. Minime vero. Cohærent ὅσοις αὐτῶν. » — 3. Peir. : ὁμοίως ἀκολασταίνεν. — 4. Peir. : τοὺς δὲ μή, au lieu de τοὺς δ' ἄλλους τοὺς μή.

5. Xph. : πάντα τρόπον ἀπώλλυε. — 6. C, G om. — 7. G : ἔλωθεν, Xph. : ἐλάνθανεν. — 8. C, E : θεραπινίδα ; Peir. : θεραπινίδι. La correction de Xld. est confirmée par les autres mss., et elle a été adoptée par les éd. subséq. — 9. Peir. et Xph. : παρακατέκλινε. — 10. Il est cité par Tacite (Ann., I, 29) comme centurion du premier ordre sous Auguste et dans les premières années de Tibère. — 11. Peir. om. : τοῦ τε.

spectacles et des banquets. Tous ceux d'entre eux qui le jugèrent à propos en firent autant dans la suite.

18. Pendant ce temps, Messaline vivait dans le désordre, et contraignait les autres femmes à se livrer elles-mêmes à la débauche : plusieurs durent, à son instigation, commettre l'adultère dans le palais même, en présence et sous les yeux de leurs maris. Ceux-là, elle les aimait et les favorisait, elle les comblait d'honneurs et de dignités; ceux, au contraire, qui ne se prêtaient pas à ces débordements, elle les haïssait et elle les faisait périr. Ces désordres, si graves et si ouvertement commis, échappèrent longtemps à Claude : Messaline faisait coucher auprès de lui de jeunes servantes, et détournait, soit par des bienfaits, soit par des supplices, ceux qui auraient pu lui découvrir ses débauches, comme Justus Catonius, préfet des gardes prétoriennes, dont la mort prévint les révélations. Jalouse de Julie, fille de Drusus fils de Tibère et femme de Germanicus Néron, elle la fit périr comme l'autre Julie. Dans ce même temps aussi,

12. Peir. om. — 13. Peir. om. : προδιέφθειρεν. — 14. Peir. om.

15. E : ἑταῖραν. La correction de Xld., confirmée par les autres mss., a été suivie par les éd. subséq. On sait qu'il y eut, sans compter la fille et la petite-fille d'Auguste, deux Julies. L'une eut pour père Drusus, fils de Tibère, et pour mère Livilla, sœur de Claude; elle fut mariée d'abord à Néron, fils de Germanicus (Tacite, Ann., III, 29), puis à Rubellius Blandus (Tacite, VI, 27). L'autre était fille de Germanicus, frère de Claude ; elle fut mariée à M. Vinicius. Dion (ch. 8) a parlé de sa mort, due à la jalousie de Messaline. — 16. Peir. om. : τις ἐν τούτῳ.

τῶν ἱππέων, ὡς καὶ ἐπιβουλεύσας τῷ Κλαυδίῳ, κατὰ τοῦ Καπιτωλίου ὑπό τε τῶν δημάρχων καὶ ὑπὸ [1] τῶν ὑπάτων κατεκρημνίσθη.

19. Ἐν μὲν δὴ τῇ πόλει ταῦτ' ἐγίγνετο [2]· κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον Αὖλος Πλαύτιος, βουλευτὴς λογιμώτατος [3], ἐς τὴν Βρεττανίαν ἐστράτευσε· Βέρικος [4] γάρ τις, ἐκπεσὼν ἐκ τῆς νήσου κατὰ στάσιν, ἔπεισε τὸν
R.p.957. Κλαύδιον δύναμιν ἐς αὐτὴν πέμψαι. Καὶ οὕτως [5] ὁ Πλαύτιος στρατηγήσας, τὸ μὲν στράτευμα χαλεπῶς ἐκ τῆς Γαλατίας ἐξήγαγεν· ὡς γὰρ ἔξω τῆς οἰκουμένης στρατεύσοντες ἠγανάκτουν, καὶ οὐ πρότερόν γε αὐτῷ ἐπείσθησαν, πρὶν τὸν Νάρκισσον ὑπὸ τοῦ Κλαυδίου πεμφθέντα, ἀναβῆναί τε ἐπὶ τὸ τοῦ Πλαυτίου βῆμα, καὶ δημηγορῆσαί τι ἐθελῆσαι· τότε γὰρ πολλῷ που μᾶλλον ἐπ' αὐτῷ ἀχθεσθέντες [6], οὔτε τι ἐκείνῳ εἰπεῖν ἐπέτρεψαν, συμβοήσαντες ἐξαίφνης τοῦτο δὴ τὸ θρυλούμενον [7], «Ἰὼ Σατουρνάλια», ἐπειδήπερ ἐν τοῖς Κρονίοις [8] οἱ δοῦλοι τὸ τῶν δεσποτῶν σχῆμα μεταλαμβάνοντες ἑορτάζουσι· καὶ τῷ Πλαυτίῳ εὐθὺς συνέσποντο [9] ἑκούσιοι [10]. Τὴν μὲν οὖν ὁρμὴν [11] χρονίαν διὰ ταῦτ' ἐποιήσαντο, τριχῇ δὲ δὴ νεμηθέντες, ὅπως μὴ καθ' ἓν περαιούμενοι κωλυθῶσί ποι [12] προσχεῖν [13]. Κἀν τῷ

1. Bkk.; vulg. et Ddf om. — 2. C : ἐγένετο. — 3. Lncl. voudrait lire ἐλλογιμώτατος, comme plus conforme à la manière de Dion; mais, dit Rm., l'un et l'autre se trouvent plusieurs fois dans notre auteur.

4. Léonicène : *un certo Tiberio*. Fabricius : « Verrius an Vettius? Causam motus ac seditionis prodit Suetonius, tumultuantem ob non redditos transfugas memorans, c. 7. » — 5. C, Bkk. et Ddf; vulg. : οὗτος.

6. C : ἀχθέντε;.

un chevalier, accusé d'avoir conspiré contre Claude, fut précipité du Capitole par les tribuns du peuple et par les consuls.

19. Voilà ce qui se passait à Rome. Dans le même temps, Aulus Plautius, sénateur distingué, fit une expédition en Bretagne : un certain Béricus, chassé de l'île par une sédition, avait persuadé à Claude d'y envoyer une armée. Plautius eut peine, pour cette expédition, à emmener ses troupes de la Gaule : les soldats, persuadés qu'ils allaient combattre hors du monde habitable, s'irritèrent et refusèrent d'obéir, jusqu'au moment où Narcisse, envoyé par Claude, voulut monter sur le tribunal de Plautius et les haranguer ; alors, irrités bien plus encore de cette prétention, ils l'empêchèrent de parler, en poussant subitement et tous ensemble le fameux cri « Io ! Saturnales », attendu qu'au temps des Saturnales, les esclaves, pour célébrer la fête, changent de rôles avec leurs maîtres ; et aussitôt ils suivirent volontairement Plautius. Ils partirent donc, après un long retard causé par cette mutinerie, partagés en trois corps, de peur d'être repoussés s'ils tentaient d'aborder sur un seul point. In-

7. G et I (seule fois) : θρυλλούμεγον. — 8. i : τῷ Κρόνῳ « quod utique placet, dit St., si ἐν omittitur. » — 9. Rsk., Bkk. et Ddf ; vulg. : συνέποντο ; St. : συνείποντο ; C : ἑκούσιοι συνέποντο. — 10. Xph., au lieu de καὶ τῷ Πλαυτίῳ... ἑκούσιοι, porte : καὶ οὕτω διὰ τὴν ἀπαξίωσιν τοῦ Ναρκίσσου τῷ τε στρατηγῷ σφῶν τῷ Πλαυτίῳ ἐπείσθησαν, καὶ ἐς τὴν Βρεττανίαν ἐπεραιώθησαν. — 11. C : ἀρχήν, et, en marge : ὁρμήν.

12. Rsk. : « πῇ vel που. » — 13. Bkk. : προσσχεῖν.

διάπλω τὸ μέν τι[1] δυσφορήσαντες, ἐπειδὴ ἐπαλινδρόμησαν, τὸ δὲ ἀναθαρσήσαντες, ὅτι λαμπὰς ἀπὸ τῶν ἀνατολῶν ἀρθεῖσα πρὸς τὰς δυσμὰς, ἥπερ ἔπλεον, διέδραμε, κατῆραν ἐς τὴν νῆσον, μηδενὸς σφίσιν ἐναντιωθέντος· οἱ γὰρ Βρεττανοὶ, μὴ προσδοκήσαντες αὐτοὺς δι' ἅπερ ἐπυνθάνοντο ἥξειν, οὐ προσυνελέγησαν. Οὐ μὴν οὐδὲ τότε[2] ἐς χεῖρας αὐτοῖς ἦλθον, ἀλλ' ἔς τε τὰ ἕλη καὶ ἐς τὰς ὕλας κατέφυγον, ἐλπίσαντες σφᾶς ἄλλως κατατρίψειν· ὥσθ', ὅπερ ἐπὶ τοῦ Καίσαρος τοῦ Ἰουλίου ἐγεγόνει[3], διακενῆς αὐτοὺς ἀναπλεῦσαι.

20. Ὁ οὖν Πλαύτιος πολλὰ μὲν πράγματα ἀναζητῶν σφᾶς ἔσχεν· ἐπεὶ[4] δὲ εὗρέ ποτε (ἦσαν δὲ οὐκ αὐτόνομοι, ἀλλ' ἄλλοι[5] ἄλλοις βασιλεῦσι προστεταγμένοι), πρῶτον μὲν Καταράτακον[6], ἔπειτα Τογόδουμνον, Κυνοβελλίνου[7] παῖδας, ἐνίκησεν· αὐτὸς γὰρ ἐτεθνήκει. Φυγόντων δὲ ἐκείνων, προσεποιήσατο ὁμολογίᾳ μέρος τι τῶν Βοδούνων[8] ὧν ἐπῆρχον Κατουελλανοὶ[9] ὄντες· κἀνταῦθα φρουρὰν καταλιπὼν, πρόσω ἦει[10]. Ὡς δ' ἐπὶ ποταμῷ[11] τινι ἐγένοντο, ὃν οὐκ ᾤοντο οἱ βάρβαροι δυνήσεσθαι τοὺς Ῥωμαίους ἄνευ γεφύρας διαβῆναι, καὶ διὰ τοῦτ' ἀμελέστερόν πως ἐπὶ τῆς ὄχθης αὐτοῦ τῆς κατ' ἀντιπέρας[12] ᾐλίζοντο, πέμπει

1. C : τοι. — 2. Rsk. : οὐδέ γε τότε. — 3. Cf. XXXIX, 52, et XL, 4.
4. C, G : ἔσχε· ἐπεί. — 5. Lncl., Rsk., Bkk. et Ddf; vulg. om.; Rm. veut supprimer la conjonction. — 6. C, G, H et Zn. : Κατάρακον.
7. G : Κυνοβαλλίνου. Suétone (Caligula, 44) appelle Adminius un troisième fils de Cynobellinus. — 8. I : Βοδούννων; G : Βεδούνων; C : Βεδσύων. Ptolémée les appelle Dobuniens. On croit qu'ils habitaient l'endroit où sont aujourd'hui Glocester et Oxford.

commodés par le roulis dans la traversée, mais ayant repris courage à la vue d'un flambeau qui courut, dans le ciel, de l'Orient à l'Occident, dans le sens de leur navigation, ils débarquèrent dans l'île sans obstacle, attendu que les Bretons, à cause de ce qu'ils avaient appris, ne croyant pas à la venue des Romains, n'avaient pas réuni leurs troupes. Cependant, même alors, ils n'en vinrent pas aux mains, mais ils se réfugièrent dans les marécages et les forêts, espérant fatiguer l'ennemi par ces vains retards, au point de le forcer, comme cela était arrivé sous Jules César, à s'en retourner sans avoir obtenu aucun résultat.

20. Plautius eut donc beaucoup de peine à leur recherche ; puis, quand il les eut enfin trouvés (les Bretons n'étaient pas indépendants, mais soumis à divers rois), il vainquit d'abord Cataratacus, et puis Togodumnus, tous deux fils de Cynobellinus, car Cynobellinus lui-même était mort. Leur fuite lui procura la soumission d'une partie des Boduni qui obéissaient aux Catuellani ; et, après y avoir laissé garnison, il poussa plus loin. Quand on fut arrivé à un fleuve que les barbares croyaient les Romains incapables de passer autrement que sur un pont, et sur la rive opposée duquel ils étaient, pour cette raison, campés sans précaution, Plautius détacha les

9. Le nom de ce peuple est diversement écrit dans les mss. de Ptolémée et dans les autres historiens. « In Anglia inventus, ajoute Fabricius, antiquus lapis in muro Hadriani, in quo nomen populi illius Catwillaunorum scribitur. » — 10. C, G : εἴη.

11. St. : « Ὡς δ' [C : δὲ] ἐπί. Jam redit [cf. ch. 17] textus in codice Veneto. » — 12. Ddf ; vulg. : κατ' ἀντιπέραν ; Bkk. : καταντιπέραν, en un seul mot.

R. p. 938. Κελτοὺς [1], οἷς ἔθος ἦν καὶ διὰ τῶν ῥοωδεστάτων ῥᾳδίως αὐτοῖς ὅπλοις διανήχεσθαι. Καὶ ἐπειδὴ ἐκεῖνοι παρὰ δόξαν τοῖς ἐναντίοις προσπεσόντες, τῶν μὲν ἀνδρῶν οὐδένα ἔβαλλον, τοὺς δ' ἵππους τοὺς τὰ ἅρματα αὐτῶν ἄγοντας [2] ἐτίτρωσκον, κἀκ τούτου ταραττομένων σφῶν οὐδ' οἱ ἐπιβάται ἀσφαλεῖς εἶναι ἐδύναντο· ἐπιδιέπεμψε τόν τε Οὐεσπασιανὸν [3] τὸν Φλάβιον, τὸν καὶ τὴν αὐτοκράτορα μετὰ ταῦτα [4] ἀρχὴν λαβόντα, καὶ τὸν ἀδελφὸν αὐτοῦ Σαβῖνον ὑποστρατηγοῦντά οἱ· καὶ οὕτω διελθόντες πῃ [5] καὶ ἐκεῖνοι τὸν ποταμὸν, συχνοὺς τῶν βαρβάρων μὴ προσδεχομένους ἀπέκτειναν. Οὐ μέντοι οἱ λοιποὶ ἔφυγον, ἀλλὰ τῆς ὑστεραίας αὖθις συμβαλόντες σφίσιν, ἀγχώμαλα [6] ἠγωνίσαντο· πρὶν δὴ Γναῖος [7] Ὀσίδιος Γέτας κινδυνεύσας ἁλῶναι, ἔπειθ' οὕτως αὐτῶν ἐκράτησεν, ὥστε καὶ τιμὰς ἐπινικίους, καίπερ οὐχ ὑπατευκὼς, λαβεῖν [8]. Ἀναχωρησάντων δ' ἐντεῦθεν [9] τῶν Βρεττανῶν ἐπὶ τὸν Ταμέσαν ποταμὸν, καθ' ὃ ἐς τε τὸν Ὠκεανὸν ἐκβάλλει [10], πλημμύροντός τε αὐτοῦ λιμνάζει, καὶ ῥᾳδίως αὐτὸν διαβάντων, ἅτε καὶ τὰ στέριφα τά τε εὔπορα [11] τοῦ χωρίου [12] ἀκριβῶς εἰδότων· οἱ Ῥωμαῖοι ἐπακολουθήσαντες σφίσι, ταύτῃ μὲν ἐσφάλησαν,

1. Xld. : *Germanos*; Fabricius : *Gallos*, parce que Plautius venait de la Gaule; Rm. : *Batavos*, parce que, dit-il, leurs cavaliers étaient célèbres pour leur habileté à nager.

2. Pomponius Méla, III, 6 : « Dimicant non equitatu modo, aut pedite, verum et bigis et curribus Gallice armati. » Cf. César, et Cicéron, Lettres Familières, VII, 6 et 10.

3. E, G et les éd. antér. à Rm. : Οὐεσπεσιανόν. — 4. G, I, Bkk. et Ddf; Lncl. : τὸν καὶ μετὰ ταῦτα αὐτοκράτορα ; vulg. : τὸν καὶ τὴν μετὰ ταῦτα

Celtes, habitués à traverser facilement à la nage, avec leurs armes, les courants les plus rapides. Ceux-ci, fondant sur les ennemis qui ne s'y attendaient pas, au lieu de frapper les hommes, blessèrent les chevaux qui traînaient les chars, et, portant ainsi le désordre dans leurs rangs, ils enlevèrent toute espèce de sûreté à ceux qui les montaient; Plautius envoya en outre Flavius Vespasien qui, plus tard, fut empereur, avec son frère Sabinus, placé sous ses ordres : ceux-ci, ayant également passé le fleuve, firent un grand carnage parmi les barbares pris ainsi à l'improviste. Le reste, néanmoins, loin de prendre la fuite, engagea de nouveau, le lendemain, une lutte dont le succès fut balancé, jusqu'au moment où Cn. Hosidius Géta, qui avait failli être pris auparavant, les vainquit si complétement qu'il reçut les ornements du triomphe, bien qu'il n'eût pas été consul. Les Bretons s'étant de là portés vers la Tamise, à l'endroit où elle se jette dans l'Océan et forme un port à son embouchure, et ayant passé le fleuve sans difficulté, grâce à leur grande connaissance des endroits fermes et praticables, les Romains en les poursuivant éprouvèrent là un échec; mais

αὐτοκράτορα; C om. : αὐτοκράτορα. — 5. Bkk. et Ddf; vulg. : ποι ; Rsk. : που. — 6. C, G : σφίσι · ἀγχώμαλα. — 7. Les éd. antér. à Rm. : Γάϊος ; tous les mss. collationnés par M. Gros donnent la leçon de Rm.

8. Suétone (Vesp., 4) rapporte que Vespasien reçut aussi les ornements du triomphe avant d'avoir été consul.

9. C, G et Ddf : δὲ ἐντεῦθεν. — 10. C : ἐμβάλλει. — 11. Xld. et les éd. subséq. ; E : τὰ ὕπορα; I : τάτεύπορα (*sic* : τά τ' εὔπορα).

12. Rsk. : αὐτοῦ χωρία.

διανηξαμένων δ' αὖθις τῶν Κελτῶν, καί τινων[1] ἑτέρων διὰ γεφύρας ὀλίγον ἄνω διελθόντων, πολλαχόθεν τε ἅμα αὐτοῖς προσέμιξαν, καὶ πολλοὺς αὐτῶν[2] κατέκοψαν· τοὺς δὲ[3] λοιποὺς ἀπερισκέπτως ἐπιδιώκοντες, ἔς τε ἕλη δυσδιέξοδα ἐσέπεσον, καὶ συχνοὺς ἀπέβαλον.

21. Διά τε[4] οὖν τοῦτο, καὶ ὅτι καὶ τοῦ Τογοδούμνου[5] φθαρέντος, οἱ Βρεττανοὶ οὐχ ὅσον ἐνέδοσαν, ἀλλὰ καὶ μᾶλλον πρὸς τὴν τιμωρίαν αὐτοῦ ἐπισυνέστησαν, φοβηθεὶς ὁ Πλαύτιος, οὐκέτι περαιτέρω προεχώρησεν, ἀλλ' αὐτός τε τὰ παρόντα διὰ φυλακῆς ἐποιήσατο[6], καὶ τὸν Κλαύδιον[7] μετεπέμψατο[8]· εἴρητο γὰρ αὐτῷ, εἴ τι βιαιότερον γίγνοιτο, τοῦτο ποιῆσαι· καὶ παρασκευή γε ἐπὶ τῇ στρατίᾳ[9] πολλὴ τῶν τε ἄλλων καὶ ἐλεφάντων προσυνείλεκτο[10]. Ἐλθούσης δὲ τῆς ἀγγελίας, ὁ Κλαύδιος τὰ μὲν οἴκοι τῷ Οὐϊτελλίῳ[11] τῷ Λουκίῳ[12] τῷ συνάρχοντι τά τε ἄλλα καὶ τοὺς στρατιώτας ἐνεχείρισε (καὶ γὰρ ἐξ ἴσου
R.p.959. αὐτὸν ἑαυτῷ ἐξάμηνον ὅλον ὑπατεῦσαι ἐποίησεν), αὐτὸς δὲ ἐξεστρατεύσατο. Καὶ καταπλεύσας ἐς τὰ Ὦστια, ἐκεῖθεν ἐς Μασσαλίαν[13] παρεκομίσθη, κἀντεῦθεν τὰ μὲν πεζῇ, τὰ δὲ καὶ διὰ τῶν ποταμῶν πορευόμενος, πρός τε τὸν Ὠκεανὸν ἀφίκετο, καὶ περαιωθεὶς ἐς τὴν Βρεττανίαν[14], συνέμιξε

1. Rsk. : καὶ τῶν. — 2. Bkk., en note, comme conjecture : σφῶν. 3. Bkk. et Ddf; vulg. : τε. — 4. G : τι. — 5. C : Τογδούμνου. 6. K et Ddf; vulg. et Bkk. : ἐποιεῖτο. — 7. C : Κλώδιον. — 8. C, G, K et Ddf; vulg. et Bkk. : μετεπέμπετο. — 9. Rsk., Bkk. et Dd; vulg. : ἐπὶ τῆς στρατιᾶς. — 10. Les mots καὶ παρασκευή γε.... παρασυνείλκετο, « entre autres ressources.... des éléphants », sont évidemment transposés; mais on ne voit pas où ils doivent être placés.

les Celtes, traversant une seconde fois le fleuve à la nage, et d'autres corps de troupes passant par un pont situé un peu au-dessus de l'ennemi, fondirent sur lui de plusieurs côtés à la fois et en firent un grand carnage ; puis, poursuivant le reste sans précaution, ils tombèrent dans des marais inextricables, où ils perdirent beaucoup de monde.

21. Cette perte, jointe à ce que, malgré la mort de Togodumnus, les Bretons, loin de céder, ne s'en soulevaient qu'avec plus d'ardeur de toute part pour le venger, ayant inspiré des craintes à Plautius, il ne s'avança pas plus loin, il se contenta de veiller sur les parties conquises et manda Claude ; car il lui avait été prescrit d'agir ainsi, s'il survenait quelque accident ; entre autres ressources préparées en abondance pour cette expédition, on avait réuni des éléphants. Quand la nouvelle parvint à Claude, il remit les affaires intérieures et même les soldats à L. Vitellius, son collègue (il lui avait donné le consulat pour six mois entiers, sur le pied d'égalité avec lui), et partit lui-même pour la guerre. S'embarquant pour Ostie, il gagna Marseille, et de là, voyageant tantôt par terre, tantôt sur les fleuves, il parvint à l'Océan, d'où, passant en Bretagne, il rejoignit, sur les

11. I : Ἰουτελλίῳ ; C, G : Ἰουτιλίῳ. — 12. K et Ddf ; vulg. et Bkk. om. : τῷ Λουκίῳ. L. Vitellius est le père d'A. Vitellius, qui parvint à l'empire après la mort d'Othon.

13. C : Μασσαλίαν. — 14. Suétone, 17 : « Quum ab Ostia navigaret, vehementi Circio bis pæne demersus est, prope Liguriam, juxtaque Stœchadas insulas. Quare, a Massilia Gesoriacum usque pedestri itinere confecto, inde transmisit [in Britanniam]. »

τοῖς στρατοπέδοις πρὸς τῷ Ταμέσᾳ ἀναμένουσιν αὐτόν. Καὶ παραλαβὼν σφᾶς, ἐκεῖνόν τε ἐπιδιέβη, καὶ τοῖς βαρβάροις πρὸς τὴν ἔφοδον αὐτοῦ συνεστραμμένοις ἐς χεῖρας ἐλθὼν, μάχῃ τε ἐνίκησε, καὶ τὸ Καμουλόδουνον [1] τὸ τοῦ Κυνοβελλίνου βασίλειον εἷλε. Κἀκ τούτου συχνοὺς, τοὺς μὲν ὁμολογίᾳ, τοὺς δὲ καὶ βίᾳ προσαγαγόμενος [2], αὐτοκράτωρ πολλάκις ἐπωνομάσθη [3] παρὰ τὰ πάτρια (οὐ γὰρ ἔστιν οὐδενὶ [4] πλέον ἢ ἅπαξ ἐκ τοῦ αὐτοῦ πολέμου τὴν ἐπίκλησιν ταύτην λαβεῖν)· καὶ τὰ ὅπλα αὐτῶν ἀφελόμενος [5], ἐκείνους μὲν τῷ Πλαυτίῳ [6] προσέταξεν, ἐντειλάμενός οἱ καὶ τὰ λοιπὰ προσκαταστρέψασθαι· αὐτὸς δὲ ἐς τὴν Ῥώμην ἠπείχθη, τὴν ἀγγελίαν τῆς νίκης διὰ τῶν γαμβρῶν, τοῦ τε Μάγνου καὶ τοῦ Σιλανοῦ [7], προπέμψας.

22. Μαθοῦσα δ' ἡ [8] γερουσία τὰ κατειργασμένα, Βρεττανικόν τε αὐτὸν ἐπεκάλεσε [9], καὶ τὰ ἐπινίκια αὐτῷ πέμψαι ἔδωκε. Πανήγυριν τε ἐτησίαν, καὶ ἀψῖδας τροπαιοφόρους, τὴν μὲν ἐν τῇ πόλει, τὴν δὲ ἑτέραν [10] ἐν τῇ Γαλατίᾳ, ὅθεν ἐς τὴν Βρεττανίαν ἐξαναχθεὶς ἐπεραιώθη, γενέσθαι ἐψηφίσαντο· τῷ τε υἱεῖ αὐτοῦ τὴν αὐτὴν ἐπωνυμίαν ἐπέθεσαν, ὥστε καὶ κυρίως τρόπον τινὰ Βρεττανικὸν αὐτὸν

1. Lncl., en marge : Καμαλόδουνον; G : Καμαλόζονον. Fabricius : « Plinii codices (II, 25) Tacitique (XII, 32) et marmor antiquum apud Cambdenum (p. 283) et Gruterum (p. CCCCXXXIX, 5) legunt Camalodunum. Etiam in nummis Col. Camalodun. Vide Seldeni Origines Alexandrinas (p. 119). Hodie Maldon. »

2. Bkk. et Ddf; vulg. : προσαγόμενος. — 3. Comme Caius, qui (LIX, 22) fut sept fois proclamé *imperator* sans avoir fait aucune guerre.

4. St., Bkk. et Ddf; vulg. : ἔστιν [Rsk. : ἔξεστιν] ἐν οὐδενί.

bords de la Tamise, son armée qui l'attendait. A sa tête, il passa le fleuve, et, engageant l'action avec ceux qui avaient pris les armes en masse à son approche, il les vainquit en bataille rangée et se rendit maître de Camulodunum, résidence du roi Cynobellinus. Ayant, à la suite de ce succès, réduit, les uns par composition, les autres par force, un grand nombre de peuples sous sa puissance, il fut, contre les usages des ancêtres, proclamé plusieurs fois *imperator* (il n'est, en effet, permis à personne de prendre ce titre plus d'une fois pour la même guerre) ; il enleva les armes à ces peuples dont le gouvernement fut par lui confié à Plautius, avec ordre d'achever la soumission du reste du pays. Puis il se hâta de retourner lui-même à Rome, où il fit apporter d'avance la nouvelle de sa victoire par ses gendres Magnus et Silanus.

22. Le sénat, lorsqu'il connut les succès remportés en Bretagne, donna à Claude le surnom de Britannicus, et lui décerna le triomphe. Il décréta, en outre, des jeux annuels, l'érection de deux arcs de triomphe, l'un à Rome, l'autre dans la Gaule, à l'endroit où il s'était embarqué pour passer en Bretagne ; il décora son fils du même surnom, en sorte que le nom de Britannicus devint, pour ainsi dire, véritablement celui de l'en-

5. Les Romains avaient coutume d'enlever leurs armes aux nations belliqueuses qu'ils avaient vaincues. César (Guerre des Gaules, II, 32) répond aux Actuatici, qui demandent à les conserver, « deditionis nullam esse conditionem, nisi armis traditis. » — 6. G : Πλωτίφ.

7. Cf. ch. 5. — 8. C, I : δὲ ἡ. — 9. Fabricius : « In nummis nunquam video Britannici nomen Claudio tributum, opinor quod filio illud velut proprium datum esset, ut statim dicetur. » — 10. K, Bkk. et Ddf, vulg. : ἀψῖδα τροπαιφορὸν ἐν τῇ πόλει, καὶ ἑτέραν.

ὀνομασθῆναι· καὶ τῇ Μεσσαλίνῃ τὴν προεδρίαν, ἣν καὶ ἡ Λιουΐα[1] ἐσχήκει, καὶ τὸ[2] καρπέντῳ[3] χρῆσθαι ἔδοσαν[4]. Ἐκείνους μὲν δὴ τούτοις ἐτίμησαν· τῇ δὲ δὴ τοῦ Γαΐου μνήμῃ ἀχθόμενοι, τὸ νόμισμα τὸ χαλκοῦν πᾶν, ὅσον[5] τὴν εἰκόνα αὐτοῦ ἐντετυπωμένην εἶχε, συγχωνευθῆναι ἔγνωσαν. Καὶ ἐπράχθη μὲν τοῦτο, οὐ μέντοι καὶ ἐς βέλτιόν τι[6] ὁ χαλκὸς ἐχώρησεν, ἀλλ' ἀνδριάντας ἀπ' αὐτοῦ ἡ Μεσσαλῖνα τοῦ Μνηστῆρος τοῦ ὀρχηστοῦ ἐποιήσατο[7]. Ἐπεὶ γὰρ τῷ Γαΐῳ ποτὲ ἐκεῖνος ἐκέχρητο[8], χάριν τινὰ αὐτῷ ταύ-
R.p.960. την τῆς πρὸς ἑαυτὴν συνουσίας κατέθετο. Σφόδρα γὰρ ἦρα[9]· καὶ ἐπεί γε μηδένα τρόπον, μήθ' ὑπισχνουμένη τι, μήτε ἐκφοβοῦσα[10] αὐτὸν, συγγενέσθαι αὐτῇ ἀναπεῖσαι ἐδύνατο, διελέχθη τῷ ἀνδρὶ, ἀξιοῦσα αὐτὸν πειθαρχεῖν οἱ ἀναγκασθῆναι, ὡς καὶ ἐπ' ἄλλο τι αὐτοῦ δεομένη· καὶ οὕτως εἰπόντος αὐτῷ τοῦ Κλαυδίου, πάνθ' ὅσα ἂν προστάττηται ὑπὸ τῆς Μεσσαλίνης ποιεῖν, συνῆν αὐτῇ, ὡς καὶ τοῦθ' ὑπ' ἐκείνου[11] κεκελευσμένος. Τὸ δ' αὐτὸ τοῦτο καὶ πρὸς ἄλλους συχνοὺς ἔπραττεν· ὡς[12] γὰρ εἰδότος τε τοῦ Κλαυδίου τὰ γιγνόμενα, καὶ συγχωροῦντός οἱ ἀκολασταίνειν, ἐμοιχεύετο.

23. Τῆς μὲν οὖν Βρεττανίας οὕτω τότε ἐάλω τινά[13].

1. C : Ἰουλία. Messaline eut la permission, jusque-là refusée (ch. 12), de prendre le nom d'Augusta. Sur les honneurs accordés à Livie, cf. LVI, 46. — 2. Rek., St., Bkk. et Ddf; vulg. : τῷ.

3. Suétone, 17 : « Currum ejus Messalina uxor carpento secuta est. »

4. Lacune dans K jusqu'à (ch. 26) αὐτοῦ. — 5. G : ὅσων. — 6. C, G om.; G, en plus ; κρεῖττον.

7. Peir. : Ὅτι ἡ Μεσσαλίνα ἀπὸ τοῦ χαλκοῦ συγχωνευθέντος ἀνδριάντας

fant. Messaline eut la préséance, qu'avait eue autrefois Livie, et l'autorisation de faire usage d'un char. Tels furent les honneurs que le sénat rendit aux princes ; de plus, la mémoire de Caius lui étant odieuse, il ordonna que toutes les monnaies d'airain frappées à son image seraient fondues. La mesure fut exécutée, mais l'airain ne fut pas mieux employé, car Messaline en fit faire des statues du danseur Mnester. Ce Mnester avait été autrefois le familier de Caius, et Messaline lui témoignait ainsi la reconnaissance de ses rapports avec elle. Car elle était vivement éprise de ce danseur, et, comme elle ne pouvait en aucune façon, ni par promesses, ni par menaces, le faire consentir à ses désirs, elle s'adressa à son mari, le priant de forcer Mnester à lui obéir, comme si elle avait eu besoin de lui pour un service d'un autre genre : Claude lui ayant dit alors de faire tout ce qui lui serait commandé par Messaline, Mnester entra en commerce avec elle, comme si cela eût été compris dans l'ordre de l'empereur. Elle fit la même chose à l'égard de beaucoup d'autres ; car elle commettait des adultères, comme si Claude avait connaissance de ce qui se passait, et lui avait permis de se plonger dans la débauche.

23. C'est ainsi que certaines parties de la Bretagne

τοῦ Μνηστῆρος τοῦ ὀρχηστοῦ ἐποιήσατο. Ce Mnester est celui dont parlent Suétone (Calig., 86) et Dion (plus loin, ch. 28), et que Claude (ch. 31) fit mettre à mort. Tacite, XIV, 9, donne également le nom de Mnester à un affranchi d'Agrippine qui se tua sur son bûcher. — 8. G : ἐκέχρητοι (*sic*).

9. Rin. voudrait ajouter αὐτοῦ. — 10. C : μήτ' ἐκφοβοῦσα.

11. Peir. : ὑπὸ ἐκείνου. — 12. C, G, H : ἔπραττε· ὡς. — 13. Cf. Suétone, 17 ; Tacite (Agricola, 13 et 14).

μετὰ δὲ ταῦτα, Γαΐου τε Κρίσπου τὸ δεύτερον καὶ Τίτου Στατιλίου ὑπατευόντων, ἦλθέ τε ἐς τὴν Ῥώμην ὁ Κλαύδιος, ἐξ μῆνας ἀποδημήσας [1], ἀφ' ὧν ἑκκαίδεκα μόνας ἐν τῇ Βρεττανίᾳ ἡμέρας ἐποίησε, καὶ τὰ νικητήρια ἔπεμψε, τά τε ἄλλα κατὰ τὸ νομιζόμενον πράξας, καὶ τοὺς ἀναβασμοὺς τοὺς ἐν τῷ Καπιτωλίῳ τοῖς γόνασιν ἀναβὰς, ἀναφερόντων αὐτὸν τῶν γαμβρῶν ἑκατέρωθεν. Ἔνειμε δὲ τοῖς μὲν βουλευταῖς τοῖς συνεξετασθεῖσίν οἱ τὰς ἐπινικίους τιμὰς, οὐχ ὅτι τοῖς ὑπατευκόσιν, ὅπερ καὶ ἄλλως ἀφθονώτατα καὶ ἐπὶ τοῖς ἐλαχίστοις ἐποίει [2], Ῥουφρίῳ [3] δὲ δὴ Πωλίωνι τῷ ἐπάρχῳ εἰκόνα καὶ ἕδραν ἐν τῷ βουλευτικῷ, ὁσάκις ἂν ἐς τὸ συνέδριον αὐτῷ συνεσίᾳ· καὶ ἵνα γε μὴ καινοτομεῖν τι δόξῃ, ἔφη καὶ τὸν Αὔγουστον ἐπὶ Οὐαλερίου τινὸς Λίγους [4] τοῦτο πεποιηκέναι. Τόν τε Λάκωνα, τὸν πρότερον μὲν τῶν νυκτοφυλάκων ἄρξαντα [5], τότε δὲ τῶν Γαλατῶν ἐπιτροπεύοντα, τῷ τε αὐτῷ τούτῳ, καὶ προσέτι ταῖς τῶν ὑπατευκότων τιμαῖς ἐσέμνυνε. Διατελέσας δὲ ταῦτα, τὴν πανήγυριν τὴν τῶν νικητηρίων ἐποίησεν [6], ὑπάτου τινὰ ἐξουσίαν ἐς αὐτὴν λαβών [7]. Ἐγίγνετο δὲ ἐν τοῖς δύο ἅμα θεάτροις· καὶ πολλάκις αὐτὸς μὲν ἀπελείπετο [8] τῆς θέας, ἕτεροι δὲ ἀντ' αὐτοῦ ἐπετέλουν αὐ-

1. Suétone, 17 : « Sexto, quam profectus erat, mense Romam rediit. »

2. Suétone, 24 : « Triumphalia ornamenta... dedit... tam multis, tamque facile, ut epistola communis nomine legionum exstiterit, petentium, ut legatis consularibus simul cum exercitu et triumphalia darentur, ne causam belli quoquo quærerent. »

3. Léonicène : *Rufferio;* Lncl., en marge : Ῥουβρίῳ; Fabricius : « Forte Ῥουφίῳ. »

furent alors soumises; à la suite de cette conquête, sous le second consulat de C. Crispus et le premier de T. Statilius, Claude rentra dans Rome après une absence de six mois, sur lesquels il n'avait passé que seize jours en Bretagne, et célébra un triomphe où, entre autres prescriptions de la loi qu'il accomplit, il monta à genoux les degrés du Capitole, soutenu sous les deux bras par ses gendres. Il accorda les ornements triomphaux à tous les sénateurs qui l'avaient accompagné dans son expédition, et non pas seulement aux consulaires, faveur que, du reste, il prodiguait à tort et à travers même pour les moindres choses; une statue et un siége parmi les sénateurs à Rubrius Pollion, préfet du prétoire, toutes les fois qu'il l'accompagnerait dans le sénat; et, pour ne paraître introduire aucune nouveauté, il allégua qu'Auguste en avait fait autant à l'égard d'un certain Valérius Ligur. Lacon, autrefois chef des Vigiles, en ce moment gouverneur de la Gaule, reçut le même honneur et, de plus, fut décoré des ornements consulaires. Après cela, Claude célébra les jeux triomphaux, et pour cela il reçut le pouvoir consulaire. Ces jeux eurent lieu sur les deux théâtres à la fois : souvent il quitta le spectacle, et d'autres y présidèrent à sa place. Il promit autant de

An de Rome 797.

C. Crispus consul II et T. Statilius consul I.

4. C, G : Αἴγιος. — 5. Cf. LVIII, 9.

6. Suétone, 21 : « Edidit et in Martio campo expugnationem direptionemque oppidi imaginem bellicam, et deditionem Britanniæ regum, præseditque paludatus. »

7. Afin de présider aux jeux avec l'autorité consulaire et de donner le signal.

8. G : ἀπελίπετο.

τήν. Τῶν δὲ δὴ ἵππων ἐπήγγειλε μὲν ἁμίλλας[1], ὅσας ἂν ἡμέρα[2] ἐνδέξηται, οὐ μέντοι καὶ πλείους[3] τῶν δέκα[4] ἐγένοντο· ἄρκτοι τε γὰρ μεταξὺ τοῦ δρόμου αὐτῶν ἐσφάγησαν, καὶ ἀθληταὶ ἠγωνίσαντο· πυρρίχην τε Ἀσιανοὶ
R.p.961. παῖδες μεταπέμπτοι ὠρχήσαντο. Καὶ ἄλλην δέ τινα πανήγυριν, ἐπὶ τῇ νίκῃ καὶ αὐτήν, οἱ περὶ τὴν σκηνὴν[5] τεχνῖται, συγχωρηθὲν σφίσιν ὑπὸ[6] τῆς βουλῆς, ἐποίησαν. Ταῦτα μὲν δὴ διὰ τὰ Βρεττανικὰ ἐπράχθη, καὶ ἵνα γε ἄλλοι[7] ῥᾷον ἐς ὁμολογίαν ἴωσιν, ἐψηφίσθη, τὰς συμβάσεις ἁπάσας, ὅσας ἂν ὁ Κλαύδιος, ἢ καὶ οἱ ἀντιστράτηγοι αὐτοῦ, πρός τινας ποιήσωνται, κυρίας, ὡς καὶ πρὸς τὴν βουλὴν τόν τε δῆμον[8] εἶναι.

24. Τήν τε Ἀχαΐαν καὶ τὴν Μακεδονίαν, αἱρετοῖς ἄρχουσιν, ἐξ[9] οὗπερ ὁ Τιβέριος ἦρξε, διδομένας, ἀπέδωκεν ὁ Κλαύδιος τότε τῷ κλήρῳ[10]· καὶ τοὺς στρατηγοὺς τοὺς ἐπὶ τῆς διοικήσεως καταλύσας, ταμίαις αὐτὴν[11] κατὰ τὸ ἀρχαῖον ἐπέτρεψεν[12], οὐχ ὥστε καὶ ἐτησίους σφᾶς, ὅπερ ἐπί τε ἐκείνων πρότερον, καὶ ἐπὶ τῶν στρατηγῶν μετὰ ταῦτα ἐγίγνετο, ἄρχειν, ἀλλ' οἱ δύο οἱ αὐτοὶ τρία ὅλα ἔτη αὐτὴν διῴκουν· καὶ οἱ μὲν στρατηγίας εὐθὺς ἐλάμβανον,

1. G : ἀμίλλας, avec l'esprit doux.

2. Léonicène, E, G et les éd. antér. à Rm. : ἡμέρας. Comme le fait remarquer Fabricius, auteur de la correction, les courses (cf. ch. 6) ne duraient qu'un seul jour, mais (cf. ch. 27) il y en avait parfois jusqu'à vingt dans le même jour.

3. G : πλείστους. — 4. Rm. : « An δώδεκα? » Cette conjecture a déjà été produite (cf. la note) LVIII, 12. — 5. G : σκηνίν. — 6. C : σφίσι ὑπό.

courses de chevaux qu'il pourrait y en avoir dans le jour, néanmoins il n'y en eut pas plus de dix : car, dans l'intervalle des courses, on égorgea des ours et on fit combattre des athlètes ; des enfants, venus d'Asie, dansèrent la pyrrhique. Les artistes dramatiques donnèrent aussi, avec la permission du sénat, d'autres jeux, célébrés également à l'occasion de la victoire de l'empereur. Voilà ce qui eut lieu pour les affaires de Bretagne, et, pour faciliter la soumission du reste du pays, on décréta que toutes les conventions faites par Claude et toutes celles que feraient ses lieutenants avec quelqu'un de ces peuples seraient valables comme faites avec le sénat et le peuple.

24. L'Achaïe et la Macédoine qui, depuis le règne de Tibère, étaient confiées à des gouverneurs choisis par le prince, furent alors remises au sort par Claude, qui, ayant destitué les préteurs chargés de l'administration du trésor, la confia, suivant l'antique usage, aux questeurs, sans, toutefois, rendre annuels ces fonctionnaires, ce qui avait eu lieu pour eux auparavant, et qui eut lieu plus tard pour les préteurs, puisque les deux mêmes questeurs administrèrent trois années entières ; quelques-uns d'entre eux arrivèrent aussitôt après à la préture, les autres re-

7. G : ἵνα γε καὶ ἄλλοις (*sic*). — 8. Rsk. croit que γιγνομένας a été passé ici après ὄῆμον. — 9. C : ἄρχουσι, ἐξ. — 10. Suétone, 25 : « Achaiam et Macedoniam [Dion, LVIII, 25], quas Tiberius ad curam suam transtulerat, senatui reddidit. » — 11. Rm. : « Scil. διοίκησιν. Ita recte L. scribendum judicavit pro αὐτάς [quod C, E habent].... Leonicenus perperam de Achaia et Macedonia interpretatur. »

12. G : ἐπέτριψεν.

οἱ δὲ καὶ μισθὸν ἔφερον, ὅπως ποτὲ [1] καὶ ἔδοξαν ἄρξαι. Τοῖς μὲν οὖν ταμίαις τὴν διοίκησιν ἀντὶ τῶν ἀρχῶν τῶν ἐν [2] τῇ Ἰταλίᾳ ἔξω τῆς πόλεως ἀντέδωκε [3] (πάσας γὰρ αὐτὰς ἔπαυσε [4])· τοῖς δὲ δὴ στρατηγοῖς δίκας τινὰς, ἃς πρότερον οἱ ὕπατοι διεδίκαζον, ἀντενεχείρισε. Τοῖς τε στρατευομένοις, ἐπειδὴ γυναῖκας οὐκ ἐδύναντο ἔκ γε τῶν νόμων ἔχειν, τὰ τῶν γεγαμηκότων δικαιώματα ἔδωκε [5]. Καὶ Μάρκῳ Ἰουλίῳ Κοττίῳ [6] τὴν πατρῴαν ἀρχὴν, ἣν ἐπὶ τῶν Ἄλπεων τῶν ὁμωνύμων εἶχε, προσεπηύξησε, βασιλέα αὐτὸν τότε πρῶτον ὀνομάσας. Τῶν τε Ῥοδίων τὴν ἐλευθερίαν ἀφείλετο [7], ὅτι Ῥωμαίους τινὰς ἀνεσκολόπισαν [8]. Καὶ Οὐμβώνιον Σιλίωνα [9] ἄρχοντα Βαιτικῆς [10] μεταπέμψας [11], ἐξέωσεν ἐκ τοῦ συνεδρίου, ὡς καὶ σῖτον ὀλίγον τοῖς ἐν τῇ Μαυριτανίᾳ [12] στρατευομένοις ἀποστείλαντα [13]· τοῦτο γὰρ κατηγορήθη· ἐπεὶ τό γε ἀληθὲς οὐχ οὕτως εἶχεν, ἀλλ' ὅτι τισὶ τῶν ἀπελευθέρων προσέκρουσε. Καὶ ὃς συνήνεγκε μὲν ἐς τὸ πρατήριον πάντα τὰ ἑαυτοῦ ἔπιπλα, πολλά τε καὶ περικαλλῆ ὄντα, ὡς καὶ πάντα αὐτὰ ἀποκηρύξων,

1. Rsk. : ὅπως δή ποτε. — 2. Rm., St., Bkk. et Ddf; vulg., C, G. F : ἀρχόντων ἐν.

3 Suétone, 24 : « Collegio quæstorum pro stratura viarum..., detractaque Ostiensi et Gallica provincia, curam ærarii Saturni reddidit. »

4. G : ἔπαστε. — 5. Les récompenses attribuées par Auguste aux citoyens qui étaient mariés et avaient des enfants. On trouve dans le recueil d'inscriptions d'Orelli plusieurs formules de ces *Honestæ Missiones*, sous les nos 2652 (celle-là est précisément du règne de Claude), 6860, 6862, 6863, sans compter de nombreux renvois à des actes semblables dans des inscriptions diverses, par exemple : 3578, 3580, 3581, etc. On pourra encore consulter les deux ouvrages dont les titres suivent : *De Militum honesta missione quæ in tabulis æneis supersunt specimen*,

çurent un salaire proportionné à l'opinion qu'ils donnèrent de leur administration. Claude rendit donc aux questeurs l'administration du trésor, au lieu de gouvernements en Italie hors de Rome (elles furent toutes abolies), et il confia, en revanche, aux préteurs la connaissance de certaines causes qui étaient auparavant du ressort des consuls. Il accorda aux soldats, attendu que les lois ne leur permettaient pas d'avoir de femmes, les droits d'hommes mariés. Il augmenta les États que M. Julius Cottius tenait de son père, auprès des Alpes appelées de son nom Cottiennes, avec le titre de roi, qu'il lui donna alors pour la première fois. Il priva les Rhodiens de la liberté, pour avoir mis en croix des citoyens romains. Il fit venir de Bétique Umbonius Silion, qu'il chassa du sénat, pour avoir envoyé trop peu de blé aux troupes qui servaient en Mauritanie : c'était le crime dont on le chargeait; mais son crime réel était d'avoir offensé des affranchis du prince. Silion mit sous la haste tout son nombreux et magnifique mobilier,

par Platzmann, Leipzig, 1818, et *Douze Diplômes militaires romains*, par Joseph Arneth, Vienne, 1843. — 6. C : Κοστίῳ; G : Κοντίῳ.

7. G : ἀφῖλετο. Suétone, 25, dit qu'il la leur rendit (plus tard, en 807), en récompense du repentir de leurs fautes passées. Ce fut Néron (Suétone, Néron, 7, et Tacite, XII, 58) qui plaida leur cause. — 8. C, E, G, I : ἀνεσκολόπησαν. — 9. C, G : Σιλλίωνα. On le croit parent de Silius ou Silion, amant de Messaline.

10. G : Βετικῆς; Rsk. : τῆς Βαιτικῆς.

11. Rsk. : « Μεταπεμψας. Plebeio more posuit pro μεταπεμψάμενος. »

12. G : Μαυρισανία (*sic*). Pendant les troubles dont il a été parlé au ch. 8.

13. G : ἀποτείμαντα pour ἀποστείλαντα.

μόνην δὲ δὴ τὴν βουλευτικὴν ἐσθῆτα ἐπώλησεν· ἐνδεικνύμενος σφίσι διὰ τούτου, ὅτι οὔτε τι δεινὸν πεπονθὼς εἴη, καὶ δύναιτο ἰδιωτεύων ἡδέως βιοτεύειν. Τότε μὲν
R.p.962. δὴ ταῦτα ἐπράχθη[1]· καὶ τὴν ἀγορὰν τὴν διὰ τῶν ἐννέα ἡμερῶν ἀγομένην, ἐς ἑτέραν ἡμέραν ἱερῶν τινων ἕνεκα μετέθεσαν· καὶ τοῦτο μὲν καὶ ἄλλοτε πολλάκις ἐγένετο[2].

25. Τῷ δ' ἐπιόντι ἔτει, ὕπατοι μὲν[3] Μάρκος τε Οὐϊνίκιος δεύτερον καὶ Στατίλιος Κορουῖνος[4] ἦρξαν. Κλαύδιος δὲ, αὐτὸς μὲν πάντα τὰ[5] εἰθισμένα διώμοσε, τοὺς δ' ἄλλους[6] ἐκώλυσε κατ' ἄνδρα ὀμόσαι[7]· καὶ οὕτως εἷς τις[8] τῶν στρατηγούντων, ὥσπερ ποτὲ, καὶ ἕτερος τῶν δημαρχούντων, ἀπό τε τῶν ἄλλων ὡς ἑκάστων εἷς, ἐξῆρξε[9] τῶν ὅρκων τοῖς ὁμοίοις. Καὶ τοῦτο καὶ ἐπὶ πλείω ἔτη[10] ἐπράχθη. Ἐπειδή τε ἡ πόλις πολλῶν εἰκόνων ἐπληροῦτο (ἐξῆν γὰρ ἀνέδην[11] τοῖς βουλομένοις ἐν γραφῇ καὶ ἐν χαλκῷ λίθῳ τε δημοσιεύεσθαι), τάς τε πλείους αὐτῶν ἑτέρωσέ που μετέθηκε, καὶ ἐς τὸ ἔπειτα ἀπηγόρευσε, μηδενὶ ἰδιώτῃ, ᾧ ἂν μὴ ἡ βουλὴ ἐπιτρέψῃ, τοῦτο ποιεῖν ἐξεῖναι, πλὴν εἴ τις ἔργον τι ᾠκοδομηκὼς εἴη, ἢ καὶ κατασκευάσαιτο· τούτοις γὰρ δὴ, τοῖς τε συγγενέσιν αὐτῶν, ἵστασθαι ἐν τοῖς χωρίοις ἐκείνοις ἐφῆκε. Καί τινα ἐπὶ δώ-

1. G, I : ταῦτ' ἐπράχθη. — 2. Macrobe (Saturnales, I, 13) : « Quum sæpe eveniret, ut nundinæ modo in anni principem diem, modo in nonas caderent (utrumque autem perniciosum reipublicæ putabatur) remedium quo hoc averteretur [in alium diem illas per intercalationem transferendo] excogitatum est. »

3. C, I om. — 4. Lncl., en marge, Léonicène, Rm., St., Bkk. et Ddf;

comme pour tout mettre à l'enchère, mais il ne vendit que sa toge de sénateur, montrant par là qu'il n'était pas bien malheureux et qu'il pourrait vivre agréablement dans une condition privée. Voilà ce qui eut lieu alors ; de plus, les nundines furent transférées à un autre jour, à cause de certains sacrifices, chose qui arriva encore dans plusieurs autres occasions.

25. L'année suivante, furent consuls M. Vinicius pour la seconde fois, et Statilius Corvinus. Claude prêta seul tous les serments en usage, et défendit aux autres de jurer individuellement; de même, parmi les préteurs, il n'y en eut qu'un, comme autrefois, et un aussi parmi les tribuns, qui récita la formule du serment pour ses collègues. Cette manière se pratiqua pendant plusieurs années. Rome était remplie de statues innombrables (il était permis, sans réserve, à quiconque le voulait, de se faire représenter en public par la peinture, par l'airain, ou par le marbre) ; Claude en fit transporter la plupart dans d'autres lieux, et défendit qu'on érigeât une statue à un particulier sans l'autorisation du sénat, à moins qu'il n'eût construit ou réparé quelque édifice ; alors il lui était loisible, à lui et à ses descendants, de le faire en cet endroit. De plus, en punissant de l'exil un gouverneur de province qui s'était laissé corrompre, il

An de Rome 798.
M. Vinicius consul II et Statilius Corvinus consul I.

C, E : Κουρουΐνιος ; G : Κορουΐνιος ; I : Κοροϊνθος. — 5. Rsk , G, St., Bkk. et Ddf ; vulg. om. — 6. C : ἄλλου.

7. G : ὁμόσε. — 8. Henri Étienne et les éd. subséq. avec les mss, excepté E et G qui portent εἴ τις.

9. C : οἷς ἐξῆρξε. — 10. G : πλείω ἔτι. — 11. Lncl. et les éd. subséq.; C, E, G, I : ἀναίδην.

ροις τῶν ἀρξάντων τινὸς ἔθνους φυγαδεύσας, πάνθ' ὅσα ἐν τῇ ἀρχῇ ἐπεκτήσατο, ἐδήμευσεν. Ὅπως τε μὴ διακρούοιντο οἱ τοιοῦτοι τοὺς ἐθέλοντας σφίσι δικάζεσθαι, οὐδενὶ ἀρχὴν ἐπ' ἀρχῇ παραχρῆμα ἐδίδου. Τοῦτο γὰρ ἐνενόμιστο μὲν καὶ πρότερον [1], ἵνα ἀπροφασίστως [2] τις αὐτῆς [3] ἐν τῷ μεταξὺ χρόνῳ λαγχάνῃ (οὐδὲ γὰρ οὐδὲ τοῖς παριεμένοις τὰς ἐκδημίας [4] ποι ἐπετρέπετο ἐπαλλήλας [5] ποιεῖσθαι· ὅπως εἴ δή τι πλημμελήσειαν, μὴ προσλαμβάνοιεν, οἱ μὲν ἐκ τῶν ἀρχῶν, οἱ δὲ ἐκ τῶν ἀποδημιῶν, τὸ ἀνεύθυνον), ἐξελελοίπει δέ. Καὶ οὕτω γε ἀκριβῶς ἑκάτερον αὐτῶν ἐφύλαττεν, ὥστε μηδὲ [6] παρεδρεύσαντά τινι [7] ἐπιτρέψαι ἐς ἡγεμονίαν εὐθὺς ἔθνους ἐπιβάλλουσάν οἱ κληροῦσθαι, καίτοι καὶ ἐπὶ δύο ἔτη τινὰς ἐῶν [8] αὐτῶν ἄρχειν, αἱρετούς τε ἔστιν οὓς πέμπων. Τοῖς δ' οὖν αἰτουμένοις,
R.p.963. ὥστε ἔξω τῆς Ἰταλίας ἀποδημῆσαι, ἐφίει μὲν καὶ καθ' ἑαυτὸν ἄνευ τῆς βουλῆς· τοῦ γε μὴν καὶ νόμῳ τινὶ αὐτὸ δοκεῖν ποιεῖν, δόγμα γενέσθαι ἐκέλευσε [9]. Καὶ τοῦτο μὲν καὶ τῷ ὑστέρῳ ἔτει ἐψηφίσθη· τότε δὲ τήν τε πανήγυριν

1. Auguste (LIII, 14) avait, d'après le conseil de Mécène (LII, 23), établi que nul de ceux qui auraient exercé une charge à Rome ne pourrait, avant cinq ans, avoir (LIII, 14) le gouvernement d'une proviuce.

2. Bkk. : ἵν' ἀπροφασίστως. — 3. Lncl., Bkk. et Ddf. Rm. : « Legi præstat αὐτῆς, scil. ἀρχῆς. L. Imo melior vulgatæ [αὐτοῖς, quod in E tantum, teste Grosio, reperitur] lectionis, modo non de sortitione provinciæ intelligas cum X. et L., sed ellipsin in λαγχάνῃ, ex [c. 28] suppleas, scil. δίκην, *ut quis litem iis intendere posset*, ne scilicet essent ἐκ τῶν ἀρχῶν ἀνεύθυνοι, ut sequitur. » — 4. Un sénateur pouvait, avec la permission du sénat, sous prétexte de légation libre, s'absenter pendant trois ans et vaquer à ses affaires privées, tout en conservant sa dignité ; durant ce temps, il était à l'abri de toute action en justice.

confisqua tout ce que cet homme avait acquis durant son gouvernement. Pour empêcher ceux qui commettraient une semblable infraction de se soustraire aux accusations qu'on voudrait leur intenter, il n'accorda à personne un gouvernement immédiatement à la suite d'un autre. C'était bien, en effet, déjà auparavant, une prescription de la loi que l'on pût librement citer en justice, dans l'intervalle de leurs fonctions, ceux qui avaient exercé une charge (il ne leur était même pas permis, au sortir d'une province, d'entreprendre des voyages successifs, afin que, s'ils avaient prévariqué, ils ne parvinssent pas, soit par l'exercice d'un nouvel emploi, soit par des voyages, à éluder leur responsabilité), mais cette disposition était tombée en désuétude. Claude observa ces deux prescriptions avec tant de soin, qu'il ne permettait pas même à un assesseur de tirer immédiatement la province qui lui revenait, bien que continuant deux années à quelques-uns le gouvernement de la même province, et y envoyant même parfois des citoyens de son choix. Lorsqu'on lui demandait une légation libre hors de l'Italie, il l'accordait de son propre chef, sans prendre l'avis du sénat; mais, pour paraître agir légalement, il s'y fit autoriser par un sénatus-consulte. Cette mesure fut décrétée encore l'année suivante ;

5. Vulg. : ἐκδημίας οἷς ποι..... ἐπ' ἀλλήλαις. Lncl., que Rm. semble approuver, supprime οἷς, ce qui donne à la phrase un sens beaucoup plus net. Ce mot provient sans doute, et la paléographie en rend aisément compte, d'une confusion avec la dernière syllabe de δυναμένοις. J'ai donc, malgré l'autorité de Bkk. et de Ddf, adopté cette suppression. Rm., et St. est de son avis, veut lire ἐπαλλήλας, que j'adopte avec Bkk. (Ddf : ἐπαλλήλους, ce qui est plus attique). Rsk. propose : ἐκδημίας ὅποι ἤθελον ἐπετράπετο ἐπαλλήλας. Enfin St. se demande si l'on ne pourrait pas remplacer οἷς ποι par γῆς ποι ; j'avoue que je ne vois pas de motif à ce changement.

6. C : μήτε. — 7. Rm. : « Xylander legisse videtur οἱ τινά, vel τινά οἱ, *suorum consiliariorum ullum*. Od. » — 8. C om. — 9. C, G, Bkk. et Ddf ; vulg. : ἐκέλευε.

τὴν εὐκταίαν[1], ἣν τῆς στρατείας[2] αὐτοῦ[3] ἕνεκα προϋπέσχετο[4], διέθηκε· καὶ τῷ δήμῳ τῷ σιτοδοτουμένῳ πέντε μὲν καὶ ἑβδομήκοντα δραχμὰς ἅπασι διέδωκεν[5], ἔστι δ' οἷς καὶ πλέον, ὥστε καὶ ἐς τριακόσιας καὶ δώδεκα καὶ ἡμίσειάν τισι γενέσθαι. Οὐ μέντοι καὶ πάντα αὐτὸς διένειμεν, ἀλλὰ καὶ οἱ γαμβροὶ αὐτοῦ, ἐπειδήπερ ἐπὶ πλείους ἡμέρας ἡ διάδοσις ἐγένετο, καὶ ἠθέλησε καὶ δικάσαι ἐν ταύταις[6]. Τοῖς τε Κρονίοις τὴν πέμπτην ἡμέραν τὴν καταδειχθεῖσάν τε ὑπὸ τοῦ Γαΐου[7], καὶ μετὰ τοῦτο καταλυθεῖσαν, ἀπέδωκε.

26. Καὶ, ἐπειδὴ ὁ ἥλιος ἐν τοῖς γενεθλίοις αὐτοῦ ἐκλείψειν ἔμελλεν, ἐφοβήθη τε μή τις ἐκ τούτου ταραχὴ γένηται, ἐπεὶ ἄλλα ἄττα τέρατα συνεβεβήκει, καὶ[8] προέγραψεν, οὐ μόνον ὅτι τε[9], ἐκλείψει καὶ ὁπότε[10], καὶ ἐφ' ὁπόσον, ἀλλὰ καὶ τὰς αἰτίας δι' ἃς ἀναγκαίως γενήσεσθαι τοῦτο ἔμελλεν[11]. Εἰσὶ δὲ αἵδε. Ἡ σελήνη τὴν κάτω τοῦ ἡλίου περιφορὰν, ὥσπερ που πεπίστευται, εἶτ' οὖν ἐφεξῆς αὐτοῦ, εἴτε καὶ μετὰ τὸν Ἑρμῆν τήν τε Ἀφροδίτην, ἔχουσα[12], κινεῖται[13] μὲν κατὰ μῆκος, ὥσπερ καὶ ἐκεῖνος· κινεῖται δὲ

1. Différents des jeux triomphaux mentionnés tout à l'heure.

2. Henri Étienne et les éd. subséq., avec les mss, excepté C, E qui portent : στρατιᾶς. — 3. Rm. (*Addenda*), St., Bkk. et Ddf; vulg. : αὐτοῦ.

4. G, I et Ddf : προϋπίσχητο.

5. Le nombre des citoyens qui recevaient du blé de l'État avait été réduit par Auguste à cent mille (LV, 10). On peut, d'après cela, se faire un idée de la somme que Claude dut dépenser pour payer à chacun soixante drachmes, c'est-à-dire soixante deniers ou trois cents sesterces,

pour le moment, il célébra les jeux votifs qu'il avait promis pour son expédition, et donna à tous les citoyens qui recevaient du blé de l'État soixante-quinze drachmes par tête, plus même à quelques-uns; ce qui fit que certains eurent jusqu'à trois cent douze drachmes et demie. Néanmoins tout ne fut pas distribué par lui; une partie le fut par ses gendres, car la répartition dura plusieurs jours, durant lesquels il voulut aussi rendre la justice. Il rétablit en outre le cinquième jour que Caius avait ajouté aux Saturnales, et qu'on avait ensuite supprimé.

26. Le soleil devant s'éclipser le jour anniversaire de sa naissance, Claude craignit qu'il n'en résultât quelque trouble, attendu qu'il était arrivé d'autres prodiges, et il publia un édit pour faire connaître à l'avance, non-seulement l'éclipse, son moment et sa grandeur, mais les causes qui devaient nécessairement l'amener. Ces causes, les voici. La lune qui, comme on le croit, fait son tour au-dessous du soleil, qu'elle le fasse immédiatement sous lui, ou que Mercure et Vénus soient entre deux, se meut en longitude comme cet astre; elle se meut aussi comme

le sesterce valant, à cette époque, vingt-six centimes de notre monnaie.

6. C : ἐνταῦθα, au lieu de ἐν ταύταις. — 7. Cf. LIX, 6. — 8. Rsk. veut, sans raison légitime, supprimer καί devant προέγραψεν. — 9. G : ὅτι τό.

10. I : πότε.

11. C, G, I : τοῦτ' ἔμελλεν. — 12. Xph. et Bkk. : ἔχει; Sibg. préfère ἔχει, donné par les mss. de Dion.

13. K, Bkk. et Ddf; vulg. : κινήσεις κινεῖται; cette suppression de κινήσεις, glose introduite dans le texte, rend la phrase plus symétrique et plus conforme aux habitudes de Dion.

καὶ κατὰ βάθος, ὥσπερ καὶ ἐκεῖνος[1]· κινεῖται δὲ καὶ ἐν πλάτει, ὅπερ οὐδαμῇ οὐδαμῶς[2] τῷ ἡλίῳ ὑπάρχει. Ὅταν οὖν κατά τε τὴν αὐτὴν αὐτῷ εὐθυωρίαν ὑπὲρ τὴν ἡμετέραν ὄψιν γένηται, καὶ ὑπὸ τὴν φλόγα αὐτοῦ ὑποδράμῃ, τότε[3] τὴν αὐγὴν αὐτοῦ τὴν εἰς τὴν γῆν καθήκουσαν, τοῖς μὲν ἐπὶ πλεῖον, τοῖς δὲ ἐπ' ἔλαττον διεσκέπασεν[4], ἔστι δ' οἷς οὐδὲ[5] ἐπὶ βραχύτατον ἀποκρύπτει· ἴδιον γὰρ ἀεὶ φῶς ὁ ἥλιος ἔχων, οὐκ ἔστιν ὅτε αὐτοῦ[6] ἀπαλλάττεται· καὶ διὰ τοῦθ' οἷς ἂν ἡ σελήνη μὴ ἐπίπροσθεν, ὥστ' αὐτὸν συσκιάζεσθαι, γένηται[7], ὁλόκληρος ἀεὶ φαίνεται. Περὶ μὲν δὴ[8] τὸν ἥλιον ταῦτ' ἀεί τε συμβαίνει[9], καὶ τότε ὑπὸ τοῦ Κλαυδίου ἐδημοσιεύθη. Ἡ δὲ δὴ[10] σελήνη (οὐ γάρ
R. p. 964. ἐστιν ἀπὸ τρόπου[11] καὶ τὸ κατ' ἐκείνην εἰπεῖν, ἐπειδήπερ ἅπαξ τοῦ λόγου τούτου προσηψάμην), ὁσάκις ἂν καταντικρὺ τῷ ἡλίῳ γενομένη (ἐν γὰρ ταῖς πανσελήνοις[12] μόνως[13] αὐτῇ τοῦτο, ὥσπερ καὶ ἐκείνῳ ἐν ταῖς νουμηνίαις, συμβαίνει) ἐς τὸ τῆς γῆς σκίασμα, κωνοειδὲς ὄν[14], ἐμπέσῃ (γίγνεται δὲ τοῦτο ὅταν διὰ τῶν μέσων ἐν τῇ τοῦ πλάτους κινήσει περιφέρηται), στέρεταί τε[15] τοῦ ἡλιοειδοῦς φωτὸς,

1. Bkk. et Ddf; vulg. : ὥσπερ ἴσως καὶ ἐκεῖνος. A la ligne suivante, je supprime également ἴσως avec Ddf; je ne vois pas de raison pour le maintenir plutôt à un endroit qu'à l'autre. Dion semble rapporter ici les termes mêmes dont Claude s'est servi.

2. C, G : οὐδαμῶς οὐδαμῇ. — 3. C, G om. : αὐτῷ εὐθυωρίαν... τότε [C, en plus, om. : τήν].

4. Rm. (*Addenda*) : διεσκεπάζει, préférable, dit St., à la correction de Rsk. : δή, ἐσκέπασεν.

5. Lncl. (approuvé par Rm.), en marge, Léonicène (*ad alcuni niente*). Bkk. et Ddf; vulg. om. : ἔστι δ' οἷς. Camérarius : τοῖς δὲ οὐδέ. Slbg pro-

lui en hauteur, et elle a, de plus, un mouvement en latitude que n'a nullement le soleil. Lors donc que la lune vient à se trouver sur la même droite que lui, au-dessus de nos regards, et qu'elle s'interpose entre nous et ses rayons, alors elle dérobe la lumière qui vient de cet astre à la terre, plus pour certains lieux, moins pour d'autres; pour quelques endroits même, elle n'en cache rien du tout; car le soleil, ayant toujours une lumière qui lui est propre, ne la perd jamais; et c'est ce qui fait que, dans les endroits où la lune n'est pas en opposition, de manière à le couvrir de son ombre, il ne cesse d'être visible en entier. Voilà ce qui a constamment lieu pour le soleil, et ce que Claude fit alors publier. Quant à la lune (il n'est pas hors de propos de parler d'elle aussi, puisque je suis engagé dans cette matière), toutes les fois que, se trouvant à son opposition avec le soleil (cela ne lui arrive qu'aux époques de pleine lune, comme au soleil qu'aux époques de nouvelle lune), elle rencontre l'ombre de la terre, qui a la forme d'un cône (la chose a lieu lorsqu'elle est au milieu de son mouvement latitudinal), elle est privée de la lumière que lui envoie le

pose de changer οὐδέ en τοῖς δέ, ou mieux, selon lui, d'insérer τοῖς δέ devant οὐδέ.

6. G : ὅτι αὐτοῦ. — 7. i : γένοιτο. — 8. C om. — 9. Bkk. et Ddf; vulg. : ταὐτά τε συμβαίνει. — 10. C om.

11. Xph. : ἀποτρόπαιον, leçon condamnée par Rm. — 12. C : πασελήνιος (*sic*). — 13. Ajouté par Rm., d'après Xph., St., Bkk. et Ddf; C, E et les éditions antérieures om.

14. C : ὧν.

15. Bkk.; Ddf om.; vulg. : στέρεται [C : στέρηται] γάρ.

καὶ αὐτὴ καθ' ἑαυτὴν, ὁποία περ ἐστὶ, φανταζεται. Ταῦτα μὲν δὴ τοιαῦτά ἐστι.

27. Τοῦ δ' ἐνιαυτοῦ[1] ἐκείνου ἐξελθόντος[2], Οὐαλέριός τε Ἀσιατικὸς τὸ δεύτερον καὶ Μάρκος Σιλανὸς[3] ὑπάτευσαν. Καὶ οὗτος μὲν ἐφ' ὅσον ἠρέθη, ἦρξεν[4]· Ἀσιατικὸς δὲ ἀπεδείχθη μὲν ὡς καὶ δι' ἔτους ὑπατεύσων, ὃ καὶ ἐπ' ἄλλων ἐγίγνετο, οὐ μέντοι καὶ ἐποίησε τοῦτο, ἀλλ' ἀφῆκε τὴν ἀρχὴν ἐθελούσιος· καὶ αὐτὸ[5] καὶ ἕτεροί τινες ἔπραξαν. Ἀλλ' ἐκεῖνοι μὲν ὑπὸ πενίας (τὰ γὰρ ἀναλώματα τὰ ἐν ταῖς ἱπποδρομίαις γιγνόμενα, ἐπὶ πολὺ ἐκεχωρήκει· τετράκις γὰρ καὶ εἰκοσάκις ὡς πληθει ἡμιλλῶντο[6]), ὁ δ' Ἀσιατικὸς ὑπ' αὐτοῦ τοῦ πλούτου, ὑφ' οὗπερ καὶ ἀπέθανεν. Ἐπεὶ γὰρ ἔν τε πολλῇ περιουσίᾳ ἦν, καὶ ἐκ τοῦ δεύτερον ὑπατεύειν, καὶ[7] ἐπαχθὴς[8] καὶ ἐπίφθονος πολλοῖς ἐγεγόνει, καταλῦσαι τρόπον τινὰ αὐτὸς ἑαυτὸν ἠθέλησεν, ὡς καὶ ἧττόν τι παρὰ τοῦτο[9] κινδυνεύσων. Καὶ ὁ μὲν ἐξητατήθη· ὁ δὲ Οὐϊνίκιος[10] ὑπὸ μὲν τοῦ Κλαυδίου οὐδὲν ἔπαθεν (ἦν μὲν γὰρ καὶ διαπρεπὴς ἀνὴρ, τὴν δὲ δὴ ἡσυχίαν ἄγων, καὶ τὰ ἑαυτοῦ πράττων, ἐσώζετο), ὑπὸ δὲ τῆς Μεσσαλίνης, ὑποψίᾳ τε ὅτι τὴν γυναῖκα[11] αὐτοῦ τὴν Ἰουλίαν ἀπέκτονει, καὶ ὀργῇ ὅτι οὐκ ἠθέλησέν οἱ συγγενέσθαι, φαρμάκῳ διεφθάρη. Καὶ οὕτω ταφῆς τε δημοσίας

1. C : Τοῦ δὲ ἐνιαυτοῦ. — 2. G : ἐξελθόντα. — 3. G : Σολανός; Léonicène : *Messala*.
4. G : ἦρξον. — 5. K, Bkk. et Ddf; vulg. om. : καὶ αὐτό.
6. Ainsi que cela avait lieu (LIX, 7) sous Caius. — 7. K, Bkk. et

soleil, et se montre telle qu'elle est par elle-même. Voilà ce qu'il en est de ce phénomène.

An de Rome 799. Valérius Asiaticus consul II et M. Silanus consul I.

27. Cette année écoulée, Valérius Asiaticus fut consul pour la seconde fois, et M. Silanus pour la première. Ce dernier exerça sa charge pendant tout le temps pour lequel il avait été nommé; Asiaticus avait été désigné consul pour l'année entière, ce qui se pratiquait pour d'autres aussi; au lieu de cela, il abdiqua volontairement cette charge, ce que d'autres avaient fait encore. Mais ceux-là l'avaient fait à cause de leur pauvreté (les dépenses pour les jeux du cirque étaient montées fort haut, et la plupart du temps il y avait vingt-quatre courses); Asiaticus le fit à cause de ses richesses, qui causèrent sa mort. Comme il avait de grands biens, et que son deuxième consulat l'avait rendu incommode et odieux à beaucoup de monde, il voulut se rabaisser, et, pour ainsi dire, s'amoindrir lui-même, dans l'espoir d'être ainsi moins exposé au danger. Son attente fut trompée. Pour Vinicius, Claude ne lui fit aucun mal (c'était un homme illustre, et il vivait en sûreté, tranquillement occupé de ses propres affaires); mais Messaline, ayant conçu des soupçons contre lui, parce qu'elle avait tué sa femme Julie, irritée, en outre, de ce qu'il avait refusé d'avoir commerce avec elle, le fit périr par le poison. Aussi fut-il honoré de funérailles aux

Ddf; vulg. om. — 8. C, G : ἐπαχθείς. — 9. G : παρὰ τοῦ.

10. Rsk.: « Ad hæc verba deesse non nulla censet Oddey, credo, de interitu Asiatici, sed eum Dio infra [c. 29] memorat. » — 11. Rsk., St., Bkk. et Ddf; vulg. : τήν τε γυναῖκα.

καὶ ἐπαίνων ἠξιώθη· πολλοῖς γὰρ δὴ καὶ ταῦτ' ἐδίδοτο [1]. Ἀσίνιος [2] δὲ δὴ Γάλλος, ὁ τοῦ Δρούσου πρὸς μητρὸς ἀδελφὸς, ἐπεβούλευσε μὲν τῷ Κλαυδίῳ [3], οὐκ ἀπέθανε δὲ, ἀλλ' ὑπερωρίσθη. Αἴτιον δὲ ἴσως μὲν καὶ ἐκεῖνο, ὅτι μήτε στράτευμα προπαρασκευάσας [4], μήτε χρήματα προαθροίσας [5], ἀλλ' ὑπ' ἀνοίας πολλῆς, ὡς καὶ ἐκουσίων τῶν Ῥωμαίων διὰ τὸ γένος ἄρξων [6], ἐθρασύνετο· τὸ δὲ δὴ πλεῖ-
R.p.965. στον, ὅτι καὶ σμικρότατος καὶ δυσειδέστατος ὢν, κἀκ τούτου καταφρονηθεὶς, γέλωτα μᾶλλον ἢ κίνδυνον ὤφλεν.

28. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν καὶ πάνυ τοῦ Κλαυδίου ἐπῄνουν, καὶ νὴ Δία καὶ ἐκεῖνο [7], ὅτι ἐντυχόντος τινὸς τοῖς δημάρχοις κατὰ τοῦ ἐξελευθερώσαντος αὐτὸν, καὶ ὑπηρέτην ἐπ' αὐτὸν αἰτήσαντος καὶ λαβόντος, ἠγανάκτησε· καὶ ἐκεῖνόν τε καὶ τοὺς συνεξετασθέντας αὐτῷ ἐκόλασε· καὶ προσέτι [8] καὶ [9] ἀπηγόρευσε, μηδὲ τοῖς οὕτω [10] κατὰ τῶν δεσποτευσάντων [11] αἰτοῦσι βοηθεῖν· εἰ δὲ μή, στέρεσθαι τοῦ δίκην αὐτοὺς ἑτέροις λαγχάνειν. Δουλεύοντα μέν τοι αὐτὸν τῇ τε [12] γυναικὶ καὶ τοῖς ἀπελευθέροις ὁρῶντες,

1. I, Bkk. et Ddf; vulg. : ἐδέδοτο. — 2. G : Ἀσιανός. — 3. Suétone, 13 : « Conspiraverant ad res novas Gallus Asinius et Statilius Corvinus, Pollionis ac Messalæ oratorum nepotes, assumptis compluribus libertis Claudii atque servis. » Asinius, dont il est ici question, avait pour père C. Asinius Gallus, qui fut consul l'an de Rome 746, lequel était fils de l'orateur Pollion, et avait épousé Vipsania, répudiée par Tibère à qui elle avait donné Drusus.

4. Ddf, leçon que St. prétend être dans I [Med. b.], mais que ne mentionnent pas les notes de M. Gros; vulg. et Bkk. : παρασκευάσας. — 5. G : προσαθροίσας. — 6. C, G : ἔξων. — 7. Peir. om. : καὶ νὴ τὸν Δία καὶ ἐκεῖνο. — 8. K, Bkk. et Ddf, vulg. om. — 9. Peir. om.

10. Lucl. : μηδὲ τισίν. Rsk. veut remplacer μηδέ par μηδένα [adopté

frais de l'État, et d'une oraison funèbre, honneur qui, du reste, était accordé à beaucoup de monde. Quant à Asinius Gallus, frère utérin de Drusus, il ourdit une conspiration contre Claude; néanmoins il ne fut pas mis à mort, mais condamné à l'exil. La cause en fut, sans doute, qu'il n'avait pour cela ni réuni d'armée, ni amassé d'argent, et que l'excès de la folie, lui persuadant que les Romains, en considération de sa naissance, lui accorderaient volontairement la souveraineté, l'avait seul poussé à cette audace; mais ce fut plutôt que, méprisé pour la petitesse de sa taille et pour sa laideur, il était un sujet de risée, loin d'être un sujet d'inquiétude.

28. Claude obtint pour cet acte des éloges sans réserve, et aussi, par Jupiter! parce qu'un affranchi ayant, non content de citer devant les tribuns du peuple le patron qui lui avait donné la liberté, demandé et obtenu l'assistance d'un licteur, il s'en montra indigné, punit l'affranchi et ceux qui lui avaient prêté leur concours, et défendit que, par la suite, personne prêtât aide à des affranchis qui présenteraient pareilles requêtes contre leurs anciens maîtres, sous peine d'être privé à jamais du droit d'intenter une accusation. On n'en était pas moins chagrin de le voir esclave de sa femme et de ses affranchis,

par St.], et insérer ἐπαναστᾶσι ou θρασυνομένοις devant αὐτῶν; Baumgarten-Crusius, dans ses notes sur Suétone (Claude, 25) : τισί au lieu de τοῖς, ou suppléer ἐντυγχανοῦσι. Rm. : « Forte μηδένα τοῖς δούλοις. Leonicenus ex ingenio, ut arbitror, supplevit : *a quegli, i quali havean congiurato in tal modo contra i suoi patroni.* » Bkk. et Ddf conservent la vulg. dans leur texte; mais, en note, Bkk. propose μηδ' ἄλλοις. M. Egger propose un autre parti que j'adopte : plus bas, αὐτῶν ne signifie rien; on peut y voir une altération de αἰτοῦσι, répondant à ὑπηρέτην ἐπ' αὐτὸν αἰτήσαντος. La confusion de l'ι avec l'υ est facile, et on peut, sans peine, s'expliquer aussi la confusion des finales ων et οῦσι, confusion que le αὐτοὺς ἑτέροις λαγχάνειν aura complétée. — 11. Peir. : δεσποσάντων; C : βουλευσάντων; vulg. (cf. la note précéd.) : δεσποτευσάντων αὐτῶν. — 12. Peir. om.

ἤσχαλλον· ἄλλως τε[1] καὶ ἐπειδὴ σπουδασάντων ποτὲ τῶν τε ἄλλων, καὶ αὐτοῦ τοῦ Κλαυδίου[2], τὸν[3] Σαβῖνον, τὸν τῶν Κελτῶν ἐπὶ τοῦ Γαΐου[4] ἄρξαντα[5], ἐν μονομαχίᾳ τινὶ ἀποκτεῖναι, ἡ Μεσσαλῖνα ἔσωσε· καὶ γὰρ ἐκείνῳ[6] ἐπλησίαζε. Τοῦτό τε οὖν αὐτοὺς ἠνία, καὶ ὅτι τὸν Μνηστῆρα ἀποσπάσασα[7] ἀπὸ τοῦ θεάτρου, εἶχε· καὶ ὁπότε γε[8] λόγος τις ἐν τῷ δήμῳ[9] περὶ αὐτοῦ ὅτι μὴ ὀρχοῖτο γίγνοιτο, θαῦμά τε[10] ὁ Κλαύδιος ἐποιεῖτο[11], καὶ ἀπολογεῖτο τά τε ἄλλα, καὶ ὁμνὺς[12] ὅτι μὴ συνείη αὐτῷ[13]. Πιστεύοντες γὰρ[14] ὄντως ἀγνοεῖν αὐτὸν τὰ γιγνόμενα, ἐλυποῦντο μὲν ὅτι μόνος οὐκ ἠπίστατο[15] τὰ ἐν[16] τῷ βασιλείῳ δρώμενα, ὅσα καὶ[17] ἐς τοὺς πολεμίους ἤδη διεπεφοιτήκει· οὐ μὴν καὶ ἐξελέγχειν αὐτὰ ἤθελον[18], τὸ μέν τι[19] τὴν Μεσσαλῖναν[20] αἰδούμενοι, τὸ δὲ καὶ τοῦ Μνηστῆρος φειδόμενοι· ὅσον γὰρ ἐκείνῃ διὰ τὸ κάλλος[21], τοσοῦτον[22] τῷ δήμῳ[23] διὰ τὴν τέχνην ἤρεσκεν. Οὕτω[24] γάρ που δεινὸς[25] σοφιστὴς ἐν τῇ ὀρχήσει ἦν, ὥστε τοῦ ὁμίλου μεγάλῃ ποτὲ σπουδῇ δρᾶμά τι αὐτὸν ἐπιβόητον[26] ὀρχήσασθαι δεομένου, παρακῦψαί τε ἐκ τῆς σκηνῆς, καὶ εἰπεῖν ὅτι, « Οὐ δύναμαι τοῦτο ποιῆσαι·

1. Peir. om. — 2. Peir. : σπουδάσαντος Κλαυδίου, au lieu de σπουδάσαντων... τοῦ Κλαυδίου. — 3. Peir. om.

4. Peir. om. : ἐπὶ τοῦ Γαΐου. Sabinus avait été gouverneur de la Gaule Narbonnaise.

5. Peir. : ἄρχοντα. — 6. K, Bkk. et Ddf; vulg. : ἐκείνῃ.

7. G : ἀποστάσασα.

8. K, Bkk. et Ddf; vulg. om. — 9. Avec ὴ [μῳ] finit le mss K; Peir. om. : ἐν τῷ δήμῳ.

10. Slhg. propose de lire τι; Henri Etienne veut changer τε en τοῦτο, ou le supprimer.

surtout depuis le jour où plusieurs citoyens, et Claude lui-même, ayant cherché à faire périr, dans un combat de gladiateurs, Sabinus, gouverneur de la Gaule sous Caius, Messaline lui avait sauvé la vie; Sabinus, en effet, était son amant. Les Romains étaient affligés de cela, et aussi de ce que Messaline retenait près d'elle Mnester, qu'elle avait enlevé au théâtre, et parce que, toutes les fois que le peuple parlait des motifs qui empêchaient Mnester de danser, Claude en témoignait sa surprise et protestait avec serment, entre autres choses, qu'il n'avait pas de relations avec lui. Comme on croyait qu'il n'avait réellement pas connaissance de ce qui se passait, on était peiné qu'il fût le seul à ignorer les désordres de la maison impériale, désordres dont le bruit s'était déjà répandu jusque chez les ennemis; mais on ne voulait pas l'en avertir, par respect pour Messaline, et par crainte de nuire à Mnester, qui, s'il était agréable à Messaline pour sa beauté, ne l'était pas moins au peuple pour son talent. En effet, il était si habile danseur, qu'un jour, les spectateurs l'ayant prié avec de grandes instances de danser une pièce célèbre, il les regarda de la scène et

11. Peir. : ἀπελογίζετο. — 12. G : ὁμνή (*sic*). — 13. Peir. : συνείη αὐτῇ.
14. Xph. : δέ, avec omission de ὄντως qui suit.
15. Peir. : ἐπίσταται. — 16. i : τὰ δέ; sans doute pour τάδε, donné par Peir. — 17. Peir. : ὅσα τε καί.
18. G : ἤθελεν. — 19. C, G : μέν τοι. — 20. Peir. : ταύτην, au lieu de τὴν Μεσσαλῖναν. — 21. G : βάλλος.
22. G : τοσοῦτο; C : τοσούτῳ. — 23. Rsk. : τοσοῦτον οὗτος τῷ ὄήμῳ.
24. C : ἤρεσκε. Οὕτω. — 25. Peir. : Ὅτι οὕτω ὄεινός.
26. Rsk. : « Δρᾶμά τι ἐπίκλυτον, deleto ἐπιβόητον ut scholio; aut certe τῶν ἐπιβοήτων. »

τῷ γὰρ Ὀρέστῃ συγκεκοίμημαι[1]». Ὁ δ'[2] οὖν Κλαύδιος ταῦτά τε[3] οὕτως ἔπραττε· καὶ ἐπειδὴ πλῆθός τε[4] δικῶν ἀμύθητον ἦν, καὶ οὐκ ἀπήντων ἐπ' αὐτὰς[5] οἵ τι[6] προσδοκῶντες ἐλαττωθήσεσθαι[7], προεῖπε διὰ προγράμματος, ὅτι καὶ κατὰ ἀπόντων[8] αὐτῶν ἐντὸς ῥητῆς τινος ἡμέρας δικάσει[9]· καὶ ἐνεπέδωσε τοῦτο[10].

29. Ἐν δὲ τῷ ἑξῆς ἔτει ὅ τε[11] Κλαύδιος τὸ τέταρτον[12] καὶ Οὐϊτέλλιος[13] Λούκιος τὸ τρίτον, ὀκτακοσιοστοῦ τῇ Ῥώμῃ ἔτους ὄντος[14], ὑπάτευσαν. Καὶ ἐξῆλασε μὲν ὁ
R.p.966. Κλαύδιος τινὰς ἐκ τῆς βουλῆς[15], ὧν οἱ πλείονες οὐκ ἄκοντες ἐξέπεσον, ἀλλ' ἐθελονταὶ διὰ πενίαν παρέμενοι[16]· ἀντεσήγαγε δὲ ὁμοίως πολλούς. Ἐπειδή τε Σουρδίνιός τις

1. St. : « His verbis hæc videtur inesse sententia : *omnes enim vires in id insumpsi*, vel *maxima contentione hoc egi et meditatus sum, ut Orestem recte agerem*. Sed verbo συγκεκοίμημαι usus est ambiguitatis causa, quo simul innueret se cum Messalina concumbere coactum atque viribus exhaustum esse. » G : Ὀρώστῃ.

2. Peir. om. — 3. Peir. om. — 4. Peir. om. — 5. Rsk., St., Bkk. et Ddf; vulg. : αὐταῖς; Peir. : αὐτῆς. — 6. Casaubon, notes sur Suétone (Claude, 15), approuvé par St., Bkk. et Ddf; vulg. : ὅτι.

7. I et Peir. : ἐλαττώσεσθαι. — 8. Bkk. : κατ' ἀπόντων. Suétone, 15 : « Absentibus, secundum præsentes facillime dabat, nullo delectu, culpane quis, an aliqua necessitate cessasset. » — 9. Rm., d'après Peir., approuvé par Valois et par Fabricius, intercale, entre ἡμέρας et δικάσει, le mot ἐρήμην omis dans les autres mss. Cependant il lui reste un scrupule : κατὰ ἀπόντων δικάζειν signifiant déjà la même chose que ἐρήμην δικάζειν, le mot ἐρήμην est peut-être une glose qui aura passé de la marge dans le texte. St. le met entre crochets; je le supprime avec Bkk. et Ddf.

10. Après ce mot τοῦτο, G porte : Τῇ Ῥώμῃ ἔτους ὄντος ὑπάτευσαν· καὶ ἐξῆλασε μὲν ὁ Κλαύδιος, mots qui appartiennent au ch. suiv. Au reste, Bkk. et Ddf sont d'accord pour déclarer que, sauf quelques passages conservés par Peir. et insérés entre crochets dans la présente édition, la fin n'est guère que du Xiphilin. — 11. G : ὅτι.

répondit : « Je ne saurais, car j'ai couché avec Oreste. » Tels étaient donc les actes de Claude ; de plus, comme le nombre des procès était infini, et que ceux qui craignaient de succomber ne se rendaient pas à l'appel de leur cause, il avertit par un édit les parties intéressées que, passé un certain jour, qu'il fixa, il statuerait sur elles, même en leur absence, et il tint parole.

29. L'année suivante, qui fut la huit-centième de Rome, furent consuls, Claude pour la quatrième fois, et L. Vitellius pour la troisième. Claude raya du sénat plusieurs membres qui, la plupart, loin de répugner à cette dégradaion, la subirent volontiers à cause de leur pauvreté, et il en mit plusieurs autres en leur place. Un certain Surdinius Gallus, à qui ses moyens permettaient

An de Rome 800. Claude consul IV et L. Vitellius consul III.

12. Suétone, 14 : « Consulatus super pristinum quatuor gessit... tertium autem, novo circa principem exemplo, in locum mortui suffectus. » Dion comprend dans son calcul le premier consulat, que Suétone omet dans le sien. Quant à cette subrogation, on a supposé, pour concilier Suétone avec Dion, qui fait de Claude un *grand consul*, que le consul mourut n'étant encore que désigné, c'est-à-dire avant les calendes de janvier.

13. Vulg. : Βιτέλλιος ; G, I : Βιτέλιος.

14. Fabricius : « Octingentesimum annum urbis mire celebratum a Claudio. Desiderantur autem, quæ de ludis Secularibus, LXIII non amplius annis post Seculares Augusti a Claudio factis, Dio scripserat : neque enim verisimile est, rem illam a tam diligente historico præteritam fuisse. Meminere Suetonius, c. 21, et Domitiano, c. 4; Plinius, VII, 48, et VIII, 42; Tacitus, XI, 14; Censorinus, c. 17; Zosimus, II, 4. » Cette omission est due sans doute à l'abréviateur (cf. l'avant-dernière note) et non à l'historien.

15. Le fait se rapporte (Suétone, 16) à la censure exercée par Claude.

16. Rm. (*Addenda*), Rsk. (blâmés par St., qui lit : παρειμένοι), Bkk. et Ddf; vulg., Xph., Slbg. (qui explique ce mot par *emanere*) et les mss : παρέμενον; Xld., Henri Etienne et Lncl. : οὐ παρέμενον; ce dernier, en marge ; παρέμεινον, changement dont Rm. ne voit pas la nécessité.

Γάλλος[1], βουλεῦσαι δυνάμενος, ἐς τὴν Καρχηδόνα ἐξώκησε, σπουδῇ τε αὐτὸν μετεπέμψατο, καὶ ἔφη ὅτι, « Χρυσαῖς σε πέδαις δήσω. » Καὶ ὁ μὲν οὕτω τῷ ἀξιώματι πεδηθεὶς, κατὰ χώραν ἔμεινε. Τοὺς μέντοι ἀλλοτρίους ἀπελευθέρους ὁ Κλαύδιος, εἴ που κακουργοῦντας λάβοι, δεινῶς τιμωρῶν[2], τοῖς ἰδίοις οὕτω προσέκειτο[3] ὥσθ' ὑποκριτοῦ τινος ἐν τῷ θεάτρῳ ποτὲ τοῦτο δὴ τὸ θρυλούμενον εἰπόντος, ὅτι[4],

Ἀφόρητός ἐστιν εὐτυχῶν μαστιγίας·

καὶ τοῦ τε δήμου παντὸς ἐς Πολύβιον τὸν ἀπελεύθερον αὐτοῦ ἀποβλέψαντος, καὶ ἐκείνου[5] ἐκβοήσαντος, ὅτι, « Ὁ αὐτὸς μέντοι ποιητὴς εἶπεν ὅτι,

Βασιλῆς ἐγένοντο χ' οἱ[6] πρὶν ὄντες αἰπόλοι· »

οὐδὲν δεινὸν αὐτὸν εἰργάσατο[7]. Μηνυθέντων δέ τινων ὡς ἐπιβουλεύοιεν αὐτῷ, τοὺς μὲν ἄλλους ἐν οὐδενὶ λόγῳ ἐποιήσατο, εἰπὼν ὅτι, « Οὐ τὸν[8] αὐτὸν χρὴ τρόπον ψύλλαν τε καὶ θηρίον ἀμύνεσθαι[9] »· ὁ δὲ Ἀσιατικὸς ἐκρίθη μὲν παρ' αὐτῷ, καὶ ὀλίγου δὲ[10] δεῖν ἀπέφυγεν[11]. Ἀρνου-

1. Xld., d'après Xph. et Zn.; de même les éd. subséq. et les mss., excepté E qui porte γάρ.

2. Cf. ch. 13, et Suétone, 25. — 3. Sénèque, Consolation à Polybe, 31 : « Magna ejus in omnes suos mansuetudo, magnaque indulgentia. »

4. G om. — 5. G : καὶ ἐκ μόνου (*sic*). — 6. Bkk. et Ddf : χοἱ; Rm. et St.: χ' οἱ; Lncl., en marge : καὶ οἱ; les éd. antér. et les mss. om. : χ' aussi bien que καί. — 7. Ce qui n'empêcha pas qu'il le fit périr (ch. 31) quelque temps après, à l'instigation de Messaline. — 8. C, G om. : Οὐ τόν.

9. Zn., après ἀμύνεσθαι, ajoute : Ἄλλους δὲ πολλοὺς διαβληθέντας ὑπὸ

de faire partie du sénat, s'étant retiré à Carthage, il s'empressa de l'envoyer quérir, et lui dit : « Je t'attacherai par des chaînes d'or. » Ainsi Surdinius, enchaîné par sa dignité, demeura à Rome. Bien que Claude châtiât avec rigueur les affranchis des autres, quand il les prenait à mal faire, il était tellement indulgent pour les siens qu'un jour, au théâtre, un acteur ayant prononcé ce mot bien connu :

Insupportable est le marchand d'étrivières que la fortune a élevé;

et Polybe, son affranchi, sur qui tout le peuple avait jeté les yeux, ayant reparti à haute voix : « Le même poëte a dit aussi :

Rois sont devenus, qui auparavant étaient chevriers; »

il ne lui fit aucun mal. Ayant reçu avis que plusieurs avaient conspiré contre lui, il méprisa tous les autres accusés en disant : « On ne se doit pas venger d'une puce comme on se venge d'une bête farouche; » Asiaticus fut, seul, jugé dans l'appartement du prince, et encore il s'en fallut bien peu qu'il ne fût absous. Car, comme

τῆς Μεσσαλίνης, καὶ τὸν Ἀσιατικὸν καὶ τὸν γαμβρὸν τὸν Μάγνον ἀπέκτεινε· τὸν μὲν Ἀσιατικὸν διὰ τὴν οὐσίαν, τὸν δὲ Μάγνον διὰ τὸ γένος καὶ τὸ κῆδος [Wolf et Bkk.; vulg. : κῦδος]. Ἐάλωσαν μέντοι ὡς ἐπ' ἄλλοις τισίν. « Entre « autres victimes des accusations de Messaline, furent Asiaticus et son « gendre Magnus; Asiaticus, à cause de ses grands biens, Magnus, à « cause de sa noblesse et de sa parenté. Néanmoins ils furent con- « damnés sous d'autres prétextes. »

10. Rsk., blâmé par St., veut supprimer ce δέ.

11. G : ὀλίγου δὲ δεινὰ ἀπέφυγεν.

μένου γὰρ αὐτοῦ καὶ λέγοντος ὅτι, « Οὐκ οἶδα οὐδὲ γνωρίζω τῶν καταμαρτυρούντων μου τούτων οὐδένα, » ἐρωτηθεὶς ὁ στρατιώτης ὁ φάσκων αὐτῷ συγγεγονέναι, ὅστις ὁ Ἀσιατικὸς εἴη, φαλακρόν τινα, προσεστῶτα κατὰ τύχην, ἔδειξε· τοῦτο γὰρ αὐτοῦ τὸ σύμβολον μόνον ἠπίστατο. Γέλωτος οὖν ἐπὶ τούτῳ πολλοῦ γενομένου, καὶ τοῦ Κλαυδίου ἀπολύειν αὐτὸν μέλλοντος, ὁ Οὐϊττέλλιος τῇ Μεσσαλίνῃ
R.p.967. χαριζόμενος, παρακεκλῆσθαι ἔφη ὑπ' αὐτοῦ, ἵν' ὅπως ἂν βουληθῇ ἀποθάνῃ[1]. Ἀκούσας δὲ τοῦτο ἐκεῖνος[2] ἐπίστευσέ τε αὐτὸν ὄντως ἑαυτοῦ διὰ τὸ συνειδὸς κατεγνωκέναι, καὶ κατεχρήσατο. Ἀνεφάνη δὲ καὶ νησίδιόν τι ἐν τῷ ἔτει τούτῳ παρὰ τῇ Θήρᾳ[3] τῇ νήσῳ οὐκ ὂν πρότερον. Ἐπειδή τε πολλοὶ δούλους ἀῤῥωστοῦντας[4] οὐδεμιᾶς θεραπείας ἠξίουν, ἀλλὰ καὶ ἐκ τῶν οἰκιῶν ἐξέβαλλον, ἐνομοθέτησε, πάντας τοὺς ἐκ τοῦ τοιούτου περιγενομένους, ἐλευθέρους εἶναι[5].

30. Ἐν δὲ τῇ Βρεττανίᾳ περιστοιχισθέντος[6] τοῦ Οὐεσπασιανοῦ[7] ὑπὸ τῶν βαρβάρων, καὶ κινδυνεύοντος[8] φθαρῆναι[9], ὁ Τίτος ὁ υἱὸς αὐτοῦ, περὶ τῷ πατρὶ δείσας, τήν τε περίσχεσιν αὐτῶν παραλόγῳ τόλμῃ διέῤῥηξε, κἀκ τούτου φεύγοντας σφᾶς ἐπιδιώξας, διέφθειρεν. Ὁ δὲ Πλαύ-

1. Pour plus de détails, cf. Tacite, XI, 1, 2 et 3.

2. G : τοὐτ' ἐκεῖνος. — 3. G : παρὰ τὴν θύρα. — 4. G : ἀνίστοῦντας, au lieu de ἀῤῥωστοῦντας.

5. Suétone, 25 : « Quum quidam ægra et affecta mancipia in insulam Æsculapii, tædio medendi, exponerent, omnes qui exponerentur, liberos esse sanxit, nec redire in ditionem domini si convaluissent : quod si quis

